* Ἀπὸ τὴν Ἐπιστολὴν τοῦ κυρίου Μπεναλδῆ[1], τὴν ὁποίαν ἄνωθεν ἀναφέραμεν, μανθάνομεν σαφέστατα, ὅτι οἱ Ἀθηναῖοι ἐδοκίμασαν τέσσαρα μεγάλα κακά, τὴν πανοῦκλαν, τὴν πεῖναν, τὴν αἰχμαλωσίαν, καὶ τὴν πυρκαϊάν. Ἡ δὲ αἰτία συνάγεται μὲν καὶ ἀπὸ τὸ τέλος τῆς Ἐπιστολῆς, συμφωνεῖ δὲ κατὰ πάντα καὶ μὲ ἐκεῖνα, ὅπου ἐξ ἀκοῆς ἔχομεν ἀπὸ τοὺς γερόντους, καθὼς καὶ αὐτοὶ ἀπὸ τοὺς προγενεστέρους ἔμαθον· εἶνε δὲ ἡ αἰτία αὕτη.

Ὁ Μητροπολίτης Ἀθηνῶν ἀπεβάλθη μὲ παντελῆ καθαίρεσιν ἀπὸ τὸν Πατριάρχην καὶ τὴν Σύνοδον. Δὲν ἠξεύρομεν ὅμως οὔτε τὸ ὄνομα τοῦ Μητροπολίτου, οὔτε τὰ ἐγκλήματα, διὰ τὰ ὁποῖα ἔγινεν ἡ καθαίρεσις. Τοῦτο δὲ εἶναι γνωστὸν ὅτι οἱ Ἀθηναῖοι εὐνοϊκῶς φερόμενοι πρὸς τὸν Ἀρχιερέα τους, δὲν ἠθέλησαν νὰ προσπέσουν εἰς τὴν Ἐκκλησίαν, καὶ μὲ παρακλητικὰ γράμματα νὰ τὸν ἀθφώσουν, ἀλλ' ἐξύβρισαν, καὶ κατεφρόνησαν τὴν Ἐκκλησιαστικὴν καθαίρεσιν, καὶ ἐβίασαν καὶ τὸν Ἀρχιερέα τους, θέλοντα καὶ μὴ θέλοντα, νὰ ἐκτελῇ πάντοτε τὰ τῆς Ἀρχιερωσύνης. Δὲν ἡσύχασεν ὅμως ἐδῶ τὸ πρᾶγμα, ἀλλὰ πηγαίνοντες μετ' ὀλίγον εἰς Κωνσταντινούπολιν πρὸς τὸν Ἀρχιευνοῦχον καὶ δι' ἄλλας πολιτικὰς αὐτῶν ὑποθέσεις, ἀνέφερον αὐτῷ καὶ τὰ περὶ τοῦ Ἀρχιερέως. Ὁ δὲ Ἀρχιευνοῦχος ἔστειλε παρευθὺς εἰς τὸν Παριάρχην ζητῶν προστακτικῶς τὴν ἀθφωσιν. Ὁ Πατριάρχης μὴν ἠμπορῶντας νὰ κάμῃ ἀλλέως, τὴν ἔδωσε τοιουτοτρόπως· «διὰ προσ-

αὐτὸ τὸ ἐπωφελέστατον καὶ κατὰ πάντα τίμιον καὶ θεάρεστον ἔργον, ἀφεύκτως μέλλει νὰ καταντήσῃ ἡ πατρὶς εἰς ἐκείνην τὴν κατάστασιν ὁποῦ ἦτο πρὸ ἑξήκοντα καὶ ἑβδομήκοντα χρόνων, ὅτε καὶ αὐτοὶ οἱ εὐγενεῖς καὶ ἐγκριτότεροι μόλις ἐγίνωσκον νὰ γάφουν τὸ ὄνομά των, καὶ πρὸς τούτοις θέλει τοὺς εἶναι καὶ μέγα ὄνειδος καὶ ἀτιμία ἀπὸ τοὺς ἄλλους τόπους, διότι ὄχι πολιτεῖαι, ὡσὰν τὴν Ἀθήναν, ἀλλὰ χωρία καὶ νησία πτωχὰ ἔχουσι διδασκάλους μὲ μισθὸν ἀπὸ τὸ κοινόν. Ἀλλὰ ταῦτα μὲν εἴδει παρεκβάσεως. * Ἐκ δὲ τῆς τοῦ κυρίου Μπεναλδῆ ἐπιστολῆς κ.τ.λ. . . .» [ὡς τὰ τῆς *Ἐπιτομῆς*].

[1] Σημ. Περραιβοῦ. Οὗτος ἤκμασεν εἰς τὸν παρελθόντα δέκατον ἕβδομον αἰῶνα.

»ταγῆς τοῦ ὑψηλοτάτου Ἀρχιευνούχου, δίδομεν τὴν ἀθῴωσιν τῷ Μη-»τροπολίτῃ Ἀθηνῶν». Οἱ δὲ Ἀθηναῖοι μηδόλως εὐχαριστηθέντες εἰς τὸ ὕφος αὐτὸ τῆς ἀθῳώσεως, ἐβίασαν τὸν Πατριάρχην νὰ τὴν δώσῃ χωρὶς τοῦ, διὰ προσταγῆς. Μετ' ὀλίγον δὲ καιροῦ διάστημα ἡ Ἐκκλησία ἁρματωθεῖσα, ρίπτει τὰ βέλη τῆς ὀργῆς ἐναντίον τῶν Ἀθη-θηναίων κοινῶς μὲ φρικτὸν ἐπιτίμιον. Κατ' αὐτὸν δὴ τὸν καιρὸν ἐσυνέβησαν εἰς αὐτοὺς καὶ ἐκεῖναι αἱ τρομεραὶ πληγαί, τὰς ὁποίας ἐκτραγωδεῖ μὲ ὅλην τὴν Ἀττικὴν εὐφράδειαν ὁ κύριος Μπεναλδῆς· ὅθεν νομίσαντες ὅτι ἀπὸ τὸ ἐπιτίμιον προῆλθον τὰ πάντα, καὶ προσπεσόντες εἰς τὴν Ἐκκλησίαν μετὰ δακρύων διὰ τῆς ἀκολούθου δεητικῆς Ἐπιστολῆς, ἔτυχον συγχωρήσεως.

ΕΠΙΣΤΟΛΗ ΑΘΗΝΑΙΩΝ

Πρὸς τὸν Πατριάρχην.

«Ἐδάφους ἄχρι γῆς ἐπὶ προσώπου κύψαντες, καὶ τὰς ἱεράς σου τῶν »ποδῶν βάσεις μετ' ὀλολυγμῶν ἀσπαζόμενοι, τὴν ὀφειλομένην προσ-»κύνησιν καὶ θερμὴν μετάνοιαν ἀπονέμομεν.

»Ἠγαπήσαμεν κατάραν καὶ ἧκεν ἡμῖν, οὐκ ἠθελήσαμεν εὐλογίαν »καὶ παρ' ἡμῶν ἐμακρύνθη, καὶ μακρυνθεῖσα δεινῶν ἡμῖν σμῆνος ἀπέ-»λιπεν, ἀγαθοῦ τινὸς οὐδὲν ἴχνος καταλιποῦσα, ἀλλὰ πᾶν εἶδος τέρ-»ψεως μεθ' ἑαυτῆς ἀκαριαίως ἑλκυσαμένη, ὥστε τὴν λαμπρὰν πρότε-»ρον ἐν προτερήμασι Πόλιν λαμπροτέραν τανῦν τοῖς ἀτυχήμασιν εἶναι. »Καὶ πῶς οὐκ ἂν δακρύοιμεν τηλικαύτης ὀλέθρῳ Πόλεως τὰς τῶν »Ναῶν εἰκόνας καταῤῥύτους ὁρῶντες τοῖς δάκρυσιν; Ἐγεννήθη ἡ ἔπαυ-»λις ἡμῶν ἠρημωμένη, προφητικῶς εἰπεῖν, καὶ ἐν τοῖς σκηνώμασιν οὐκ »ἔστιν οὐκ ἔστιν ὁ κατοικῶν. Ἐκβεβλήμεθα, φεῦ, τῆς φίλης πατρί-»δος, Παναγιώτατε Πάτερ καὶ οἱ πολυετῆ κομπάζοντες οἴκων τε καὶ »κτημάτων ῥαστώνην, ἐν βραχεῖ μετανάσται, καὶ πάροικοι καὶ κρείτ-»τους εὐπραγίας κατέστημεν. Καὶ δὴ τῶν γλυκείων ὀρόφων πόῤῥωτε »τῆς Ἀττικῆς ἀγλαΐας ἐξαντικρὺ ἐφεζόμενοι, καὶ τὰς θρηνώδεις ὀλο-»λυγὰς Ἱερεμίου τοῦ Θείου ἐρανισάμενοι, ἐρημωθεῖσαν θρηνοῦμεν πα-»τρῴαν γῆν, κατασκαφείσας τὰς τοῦ γένους ἑστίας, Ναῶν ὀρόφους, »καὶ πύργων ἀντιπάλου πυρὸς ἀνάλωμα γεγονότας, καὶ πολεμίας χει-»ρὸς οἰκτρὸν πάρεργον, Σαλαμῖνα τὴν πρώην εὑράμενοι τῶν ἡμετέ-»ρων συμφορῶν καταγώγιον ἅμα καὶ μαρτυρίαν. Ἐν ἀκμῇ γὰρ οὔσης »ἐνταῦθα τῆς Θείας ὀργῆς λοιμὸς μὲν πρῶτον τὸν ὑπὲρ κεφαλῆς μιά-

»νας ἀέρα, τὰ τῶν αὐτόθι διαιτωμένων σώματα τοῖς πεδίοις σποράδην καὶ πονήρως διακείμενα στρώννυσι, καὶ τάφος ἑκάστῳ ἡ οἰκεία χαμεύνη, ἀκλαύστων, ἀτάφων τῶν πλειόνων μενόντων, τοῦ κακοῦ τῆς ῥύμης πᾶν ἔθιμον συλησάσης· ἐξογκοῦται δὲ μᾶλλον ἡ συμφορὰ ἐκμεμηνυῖα, καὶ λιμὸν λοιμὸς διαδέχεται, καὶ σπάνις τυραννὶς σιτίων τὰ μόλις ἐκφυγόντα τὸν τοῦ λοιμοῦ θάνατον σώματα, καὶ τήκεται ἄρτι τῆς γῆς ἐκφυέντα πάντῃ τὰ σπόριμα, χαλκοῦ γεγονότος πρὸς ὑετὸν οὐρανοῦ, καὶ νεφῶν πυρὸς ἀτμίδα οὐ δρόσον τῇ γῇ ἐνσταζόντων· τέρας ἐδόκει τὰ καθ'ἡμᾶς ἑκασταχόσε, ἀκορέστου καθάπερ ἐριννύος τινὸς τοῖς ἡμετέροις κακοῖς ἐκβαχευσάσης· καὶ περιεμένομεν συλλυπούμενοι, καὶ οὐχ ὑπῆρξε, καὶ ὡσπερεὶ δακρύων λιβάσι τοῖς τοῦ ὄμβρου σταγόσι συμπαθῶς τεγκόμενον καὶ οὐχ εὕρομεν, καὶ στοιχείων αὐτῶν καθ' ἡμῶν εὐστόχως ὁπλιζομένων. Καὶ θάλαττα γὰρ ἐπάγει ληστρικὰς Βαρβάρων τριήρεις, δεινὴν αἰχμαλωσίαν, καὶ καινῶν σπέρματα δακρύων ἐποαζούσας. Καὶ ἦν αἰγιαλὸς Σαλαμῖνος θορύβῳ τότε θρηνώδει κατάδουπος. Μητέρες κύουσαι δύστοινοι ἀωρὶ τὰς ὠδίνας ὑπέμενον τῆς γονῆς, καὶ νήπια μητέρων ἐπικουρίαν ψελλιζούσαις φωναῖς ἐπικαλοῦντα κατηδαφίσθησαν πέτραις, καὶ τυραννικῆς ἀκολασίας νεάνιδες ἀκμάζουσαι γεγόνασι θῦμα δεινόν· καὶ οἱ λαμπρῶς γεγηρακότες δούλειον ἔσχον τῆς ζωῆς τὸν ἐπίλογον. Διέσπαρται πλειόνων τὰ ἔγκονα ἀλλοδαπῆς ἐν ἄκρᾳ χθονὸς, καὶ τοῦ γένους τὰ φίλτατα ὠμότητος βαρβάρου σκῦλον κατέστη, καὶ θλίβει πρώρας ἀπίστων πρὸς ὕδωρ πλοῦτος Ἀθηναίων δορύκτητος. Πρεσβυτέρων δὲ χεῖρες ἱερουργοὶ πιεζόμεναι, καὶ πρὸς ζυγὸν ἐλαυνόμεναι καὶ λησταῖσιν αὐτοῖς ἐλεεινὸν ἔδοξε θέαμα· καὶ πᾶσαν σχεδὸν ἡλικίαν ἐπολιώρκει ὁ ληστρικῆς οἶστρος πλεονεξίας. Τελευταῖον ἦν τῶν κακῶν ἐπεισόδιον δαιμονία τις φλὸξ αὐτομάτως ἀναδοθεῖσα τούς τε περὶ τὸν ἡμέτερον Πειραιᾶ κλίνοντας ἀμπελῶνας ἐμπρήσασα, καὶ τὸν Ἱερὸν τῆς Ἀθηνᾶς Ἐλαιῶνα τεφρώσασα, καὶ ὁρίων ἄχρι καὶ θαλάσσης αὐτῆς ἐκβαχεύσασα ἕως αὐτῆς τὴν ὁρμὴν ὁ τῶν κυμάτων ἐπέσχεν ἀντίῤῥους. Τοῖον ἄρα τὸ καθ' ἡμᾶς δρᾶμα Θεὸς ἐγκατέστησε, καὶ τοιοῖσδε πεφορημένους κακοῖς Αἰγίνης νῆσος, καὶ Πέλοπος ἄκρα χθονὸς τὰ νῦν ἐπιδέχονται, καὶ σοφοῖς γεγόναμεν μῦθος πολύκλαυστον θέατρον, καὶ τραγικῆς ὀρχίστρας καταστροφή· ἡψάμεθα γὰρ τῶν χριστῶν Κυρίου, καὶ ἐν τοῖς τούτου Προφήταις, τῷ Δαβὶδ ἀπειθήσαντες ἀναιδῶς ἐπονηρευσάμεθα. Ἀλλ' οὐδὲ πῇ ταῦτα στήσεται εἰκάσαι οἱ δύστοινοι ἔχοντες καὶ φόβῳ τῶν παρελθόντων τὴν τῶν προσδοκωμένων ἀντιμετροῦντες ἐλπίδα, μὴ περραιτέρω τῷ ἔρωτι ἐμμένειν ἀπηνεστέρας ἐκδικήσεως ἐκλιξοῦμεν.

»Ἠδίκηταί σοι τὸ τοῦ ἀξιώματος ἔξοχον παρ᾽ ἡμῶν, ἀλλ᾽ ὅμως ἡμε»τέρων ὄνομα φέροντες τέκνων οὐ μέχρι ῥοπῆς ἐσχάτης καὶ θανάτου »τιμωρητέοι. Ἤδη γὰρ καὶ πλέον τοῦ δέοντος ἐκδεδίκηταί σοι τὰ καθ᾽ »ἡμῶν, Πάτερ Παναγιώτατε, καὶ τῆς ἀσελγοῦς ὑψηγορίας καὶ τρόπων »ἀθέσμων βαρείας ὑπέσχομεν δίκας ἅπαντες, εἰ καὶ μὴ πάντες ὑπεύ»θυνοι. Ἅλις σοι τὰ τῆς ἀρᾶς βέλη ἐπέκεινα καθ᾽ ἡμῶν ἐπαφιέιν, δει»νοὺς κατῃκισμένους τοῖς τραύμασιν ἅμα πάντας ὁρῶντι. Ὡς δὴ οἱ »πλείους ὑπωρείαις ἐρήμοις καὶ πέτραις παραλίοις λοιμοῦ βίᾳ, καὶ ξίφους »πεσόντες τὰς αὐτῶν σάρκας οἰωνοῖς τε καὶ θηρσὶν ὠμοβόροις βρῶμα »καὶ κῦρμα δεδώκασι. Στῆσον μικρὸν τὸν τῆς ὀργῆς χαλινὸν ὀργῇ θείᾳ »ῥιζόθεν ἐκβεβλημένους ὁρῶν. Ὀξὺς εἰς ὀργὴν, καὶ εἰς συγγνώμην ὀξύτε»ρος ἔσο. Παρακαλοῦμεν διὰ τὸν Κύριον τὸν καὶ τοῖς σταυρωταῖς αὐ»τοῦ ἐπὶ τοῦ ξύλου παρὰ τοῦ αἰωνίου Πατρὸς συγγνώμην αἰτήσαντα. »Τίς οὕτω τραχὺς εἰς οἶκτον τοῖς ἡμετέροις κακοῖς οὐκ ἐδάκρυσεν ; ἢ τίς »Κυκλώπων ὠμότερος, καὶ χαλκίνην ἔχων τὴν καρδίαν τοῦ τῶν δυστυ»χῶν Ἀθηναίων πάθους τὴν φωνὴν ἔναυλον φέρων δυνατὸν ὅσον μὴ πρὸς »ἐπικουρίαν ἐξίκοιτο ; Τηλικοῦτον τοίνυν τὸ ἡμέτερον ἄλγος ὀψέποτε καὶ »τοῖς πατρικοῖς τῆς ὑμετέρας Παναγιότητος σπλάγχνοις προσερπῦσαν »ταχὺν πρὸς συγγνώμην ἀπεργασάτω. Ἰδοὺ καὶ πόῤῥωθεν πάντες γόνυ »σοι κλίναντες, καὶ τῆς κεφαλῆς κόνιν καταχεάμενοι, ὡς ποτὲ Νινευΐ»ται μετὰ κτηνῶν, καὶ νηπίων λαοῦ φωνῇ ὀλολύζοντος ἵλαθι βοῶμεν, »Παναγιώτατε Πάρερ, ἵλαθι, καὶ δὸς ἀπολαῦσαι εὐλογίας τῆς σῆς, ἧς »διὰ τύχης φαυλότητα οἱ τάλανες ἐκπεπτώκαμεν. Σαῖς θεοπειθέσιν εὐ»χαῖς τὸ θεῖον ἡμῖν ἐξίλασον, ὅπως τε καὶ αὖθις μετὰ τηλικοῦτον ἀ»γῶνα δεινῶν ἐπὶ πατρῴαν γῆν ἔχωμεν ἀναζεῦξαι, ἔνθεν μετ᾽ ἠρεμίας »διαιτώμενοι εὐπειθεῖς τοὐντεῦθεν θεοδμήτοις Ναοῖς μετὰ μελῶν ἐναρμο»νίων ὡς καὶ τὸ πρὶν τῆς σῆς Παναγιότητος μνήμην ποιοῖμεν· ἣ δῴη »Κύριος τὴν ἀγήρω Μακαριότητα. Ἀμήν».

Κατὰ δὲ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ὀγδοηκοστὸν ἕβδομον ἔτος, Φραγκῖσκος Μοροζίνης Πληρεξούσιος καὶ γενικὸς Ναύαρχος τῶν Ἐνετῶν, θέλωντας νὰ κυριεύσῃ τὴν νῆσον Εὔβοιαν, ἔφθασε μετὰ τοῦ ναυτικοῦ στόλου εἰς ταῖς Σπέτσαις, κατὰ τὴν ἑνδεκάτην τοῦ Σεπτεμβρίου, κᾀκεῖθεν εἰς Αἴγιναν. Ἡ ἐγγύτης τοῦ χειμῶνος, καὶ ἡ φήμη τῆς Ἀθήνας, τὸν παρακίνησαν νὰ γυρίσῃ προτήτερα εἰς αὐτὴν τὴν Μητρόπολιν. Ἀμέσως λοιπὸν ὥρμησεν εἰς τὸ Πόρτο Δράκο λιμένα τῆς Ἀθήνας. Ὁ Δημήτριος, καὶ ὁ Πέτρος ἀδελφοὶ Γάσπαροι, ὁ Σπυρίδων Περούλης, καὶ ὁ Ἀργυρὸς Μπεναλδῆς ἐπῆγαν εἰς προσκύνησίν του, καὶ τοῦ ἀνέφερον ὅτι οἱ Τοῦρκοι ἐκλείσθησαν εἰς τὸ Κάστρον, προβλεμμένοι πλουσιοπάροχα

ἀπὸ τροφὰς, καὶ τὰ πρὸς πόλεμον ἐπιτήδεια, προσμένοντες πρὸς τούτοις καὶ βοήθειαν ἀπὸ τὰς Θήβας τὸν Σερασκέρην. Ὁ Μοροζίνης ἐπρόσταξεν εὐθὺς νὰ εὔγουν ἀπὸ τὰ καράβια ὀκτὼ χιλιάδες πεζοὶ ὑπὸ τὴν ὁδηγίαν τοῦ Δανιὴλ Δελφίνου κατ᾽εὐθεῖαν τῆς Ἀκροπόλεως, διὰ νὰ τὴν κτυποῦν μὲ τὰς βομβάρδας, καὶ ὀκτακόσιοι ἑβδομήκοντα καββαλαρία, διὰ νὰ ἐμποδίζουν τὴν βοήθειαν, ὁποῦ ἤθελεν ἔλθῃ ἀπὸ τὰς Θήβας. Τὸ πεζικὸν λοιπὸν στράτευμα ἐκτυποῦσε τὸ Κάστρον μὲ τὰς βομβάρδας, τὸ δὲ ἱππικὸν ἔκαμνε χαρακώματα, οἱ δὲ πολιορκούμενοι ἐδιαφεντεύθησην διὰ μερικὰς ἡμέρας καί αὐτοὶ ἀντιπολεμοῦντες. Ἀλλ᾽ ἀφ᾽οὗ οὔτε ἡ προσδοκουμένη αὐτοῖς ἀπὸ τὴν Θήβαν βοήθεια ἐφαίνετο, ἔπεσε δὲ καὶ ὁ περικαλλέστατος ἐκεῖνος, καὶ ἀξιοθαύμαστος, καὶ περίφημος Ναὸς τῆς Ἀθηνᾶς ἀπὸ μίαν βόμβαν, ὁποῦ ἐρρίφθη ἀπὸ τοὺς πολιορκοῦντας, καὶ κατὰ συμβεβηκὸς ἄναψεν ἡ πυρῖτις κόνις, ἤγουν ὁ τζεπχανὲς, ὁποῦ ἐφυλάττετο μέσα εἰς αὐτὸν, ὁμοῦ καὶ τὰ πλέον ἀκριβῆ πράγματά τους, ἔστησαν σημαίαν ἄσπρην, καὶ ἐζήτησαν τὴν εἰρήνην, ἡ ὁποία καὶ ἐδόθη εἰς αὐτοὺς μὲ τοιαύτας συνθήκας· ὅτι εἰς διάστημα πέντε ἡμερῶν νὰ ἔχουν τὴν ἄδειαν νὰ πάρουν μαζύτους τὰ ὅσα πράγματα ἤθελε δυνηθοῦν, ἀφίνοντες μόνον τοὺς Ἀράπιδες, καὶ νὰ ἀναχωρήσουν ἀσφαλῶς εἰς Σμύρνην, ἢ ὅπου ἀλλοῦ θελήσουν· τὸ ὁποῖον καὶ ἔγινεν εἰς τὰς τέσσαρας τοῦ μηνὸς Ὀκτωβρίου. Μετὰ ταῦτα ὁ Μοροζίνης ἐπρόσταξε νὰ ἀφιερωθῇ ἡ πρώτη Ἐκκλησία ἐπ᾽ ὀνόματι τοῦ Ἁγίου Διονυσίου τοῦ Ἀρειοπαγίτου, εἰς τὴν ὁποίαν συναχθέντες αὐτὸς, καὶ ἄλλοι ὀφφικιάλοι, ἐγένετο λειτουργία, δοξολογήσαντες, καὶ εὐχαριστήσαντες τὸν Θεὸν διὰ τὴν ἀπόκτησιν τῆς πόλεως. Ἔχαιρον λοιπὸν κοινῶς ὅ,τε λαὸς τῆς Ἀθήνας διὰ τὴν δῆθεν ἐλευθερίαν, ὁποῦ ἀνελπίστως, καὶ τόσον ταχέως ἀπήλαυσαν, καὶ ὁ νέος Κυριάρχης. Ἀλλὰ δὲν ἀπέρασε πολὺς καιρὸς ὁποῦ εἰς λύπην ἄκραν ἡ χαρὰ μετετράπη. Διότι πρῶτον μὲν ἠκολούθησεν εἰς τὴν πόλιν ἡ πανώλη, ἀπὸ τὴν ὁποίαν ἀπέθανον πολλοὶ καὶ ἀπὸ τοὺς στρατιώτας καὶ ἀπὸ τοὺς πολίτας. Ἔπειτα δὲ ὁ Μοροζίνης μὴ δυνάμενος νὰ κρατήσῃ τὴν Ἀθήναν, διὰ τὰς συνεχεῖς τῶν Τούρκων ἐκδρομὰς, ἑτοιμάσθη εἰς τὸν ἴδιον καιρὸν νὰ ἀναχωρήσῃ ἐκεῖθεν, καὶ νὰ ἐπιχειρισθῇ τὴν ἀπόκτησιν τῆς Εὐβοίας· ἀλλὰ μήτε αὐτὴ ἡ ἐπιχείρησις ἔλαβε καλὴν ἔκβασιν. οἱ Ἀθηναῖοι στοχαζόμενοι ὅτι[1] μετὰ τὴν ἀναχώρησίν του, ἔμελλον νὰ εἶναι (ἂν εἶχε σταθοῦν εἰς τὴν Ἀθήναν) ὑποκείμενοι εἰς τοὺς κινδύνους, ὁποῦ ἤθελε τοὺς προξενηθοῦν ἀπὸ τοὺς Τούρκους, ἀνέφεραν ταῦτα δεινοπαθῶς εἰς τὸν Μοροζίνην, ὁ ὁποῖος βλέπωντας ὅτι δὲν εἶναι

[1] Ἐν τῷ χειρογράφῳ Πιττάκη προστίθεται ἡ φράσις «κατὰ πολλὴν τοῦ κωλύοντος ἐρημίαν». Ἴδε Τουρκογραικίας σελ. 82.

ἀνόητος ὁ φόβος τους, τοὺς ἐπῆρε μαζύ του, τοὺς ἔστειλεν ἀσφαλῶς μὲ τὰ πλοῖα, μερικοὺς εἰς Αἴγιναν, ἄλλους εἰς Σαλαμῖνα, καὶ ἄλλους εἰς τὰ δωδεκάνησα. Πολλοὶ ἐπῆγαν εἰς τὴν Κόρινθον, καὶ οἱ περισσότεροι καὶ ἀξιολογώτεροι κατέφυγον εἰς τὸ Ναύπλιον, καὶ ἐφιλοφρονήθησαν ἀπὸ τὴν Ἀριστοκρατίαν τῶν Ἐνετῶν μὲ ὑποστατικὰ, καὶ μὲ μισθοὺς ἐτησίους, ὅπου καὶ ἀπέμειναν ἕως τὸν καιρὸν τῆς ἁλώσεως αὐτοῦ ἀπὸ τοὺς Τούρκους εἰς τοὺς 1715. Ἡ ὀδυνηρὰ αὕτη ἀναχώρησις τῶν Ἀθηναίων ἀπὸ τὴν φίλην πατρίδα τους ἐστάθη ἐν μηνὶ Μαρτίῳ τοῦ αὐτοῦ χρόνου. Ἔμεινε λοιπὸν ἡ Ἀθῆνα παντέρημος τρεῖς ὁλοκλήρους χρόνους[1].

Οἱ δὲ Ἀθηναῖοι μετὰ ταῦτα θλιβόμενοι ἀπὸ τὸν πόθον πρὸς τὴν πατρίδα τους, ἄρχησαν ἀπ' ὀλίγους νὰ συνάγωνται ἕως ἑβδομήκοντα φαμελίαι, καὶ ἐνταυτῷ ἔγραψαν εἰς τὸ Ὑψηλὸν Δοβλέτι τῆς Ὀθωμανικῆς βασιλείας, δηλοποιοῦντες τὴν εἰς Ἀθήνας ἐπιστροφήν τους, καὶ ὅτι εἶναι πιστοὶ ῥαγιάδες τοῦ πολυχρονίου βασιλέως, καὶ ἄλλα ὅμοια. Ἡ βασιλεία ἔδωκεν εὐμενῆ τὴν ἀκρόασιν εἰς τὰ γραφόμενα, καὶ ἔδειξε μεγάλην τὴν εὐχαρίστησιν· ὅθεν καὶ μετ' ὀλίγον καιρὸν διορίζει ἕνα Πασᾶ, ὀνόματι Ἀβδουλὰμ Πασᾶ, ἢ ἐξεπίτηδες, ἢ ἔχοντα προσταγὰς καὶ δι' ἀλλοῦ πουθενᾶ. Οὗτος ἐλθὼν, ἔστησε τὰς σκηνάς του ἔξω εἰς τὴν Καλιρρόην. Εὐθὺς οἱ ἐγκριτότεροι συμπατριῶται ἐπῆγαν εἰς προσκύνησίν του, ὁ ὁποῖος τοὺς ἐδέχθη καὶ τοὺς ὡμίλησε μὲ κάθε ἱλαρότητα, τοὺς ἐρώτησεν ἂν εἶναι πολλοὶ συναγμένοι ἀπὸ τοὺς ῥαγιάδες ἕως τώρα, καὶ ἀνίσως ἡμέραν παρ' ἡμέραν ἀκολουθοῦν νὰ συνάζωνται. Οἱ συμπατριῶται ἀπεκρίθησαν διὰ στόματος τοῦ Νικολάου Χειλᾶ εἰδήμονος τῆς Ὀθωμανικῆς διαλέκτου, ὅτι, Πασᾶ Ἐφέντη, ἕως τώρα εἶναι μερικοὶ συναγμένοι, καὶ εἰς αὐτὸ τοῦτο πάσχομεν μὲ κάθε λογῆς τρόπον νὰ φέρωμεν καὶ τοὺς ἐπιλοίπους, ὅμως χρειάζεται *ὑπομονή*·[2] διότι εἰς ἐκεῖνα τὰ μέρη ὁποῦ εὑρίσκονται εἶναι ἐλευθερία περισσοτέρα, ἡ ὁποία εἰς τοὺς πολλοὺς φαίνεται ἀρεστή. Διὰ τοῦτο πρέπει νὰ δοκιμάσωμεν τὸν κάθε ἐπιτήδειον καὶ γλυκὺν τρόπον εἰς τὸ νὰ τοὺς ἑλκύσωμεν, διὰ νὰ κατοικηθῇ πάλιν, καὶ νὰ γεμίσῃ ὁ τόπος τοῦ κραταιοτάτου καὶ εὐσπλαγχνικωτάτου βασιλέως μας. Ὁ Ἡγεμὼν φαίνεται ὅτι εὐχαριστήθη πολὺ εἰν αὐτὴν τὴν ὁμιλίαν· σημεῖον δὲ, ὅτι ἐχάρισε καὶ ἓν δακτυλίδιον εἰς τὸν Νικόλαον, ἀπέδειξε δὲ καὶ ἐκ μέρους τοῦ βασιλέως του ὅλους τοὺς Ἀθηναίους ἀφορολογήτους, καὶ ἀσιδότους εἰς τρεῖς ὁλοκλήρους χρόνους, καὶ ὅτι ὅσοι

[1] Ἐν τῷ χειρογράφῳ Πιττάκη προστίθεται «ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ».

[2] Ἐνταῦθα σταματᾷ τὸ χειρόγραφον Πιττάκη μεθ' ὃ ἕπονται αἱ *Ἐφημερίδες* ὡς ἐῤῥήθη ἐν σελ. 35 τῆς *Ἱστορίας τῶν Ἀθηναίων* (Τόμ. Α'.)

ἤθελε ξαναγυρίσουν εἰς τὴν πατρίδα τους νὰ ξαναλαμβάνουν ἐλευθέρως ὅλα τους τὰ ὑποστατικά. Οὕτω λοιπὸν ἀκολουθοῦσεν ἡ ἀνάσμιξις τῶν φευγάτων εἰς τὴν Ἀθήναν, καὶ ἡ τῶν ὑποστατικῶν τους ξαναπόκτησις. Ἐκείνων δὲ ὁποῦ ἔμειναν εἰς τοὺς ξένους τόπους τὰ ὑποστατικὰ ἀπέρασαν εἰς τὴν ἐξουσίαν τῆς βασιλείας. Ὅθεν μετ' ὀλίγον μερικοὶ ἀξιολογώτεροι συμπατριῶται, ὁ Μπενιζέλος, ὁ Παλαιολόγος, ὁ Λατῖνος, καὶ ἄλλοι πρὸς τούτοις πηγαίνοντες εἰς βασιλεύουσαν ἠγόρασαν ἀπὸ τὸ Ὑψηλὸν Δοβλέτι μὲ μίαν συγκαταβατικὴν τιμὴν ὅλα τὰ ὑποστατικὰ ἐκείνων τῶν Ἀθηναίων, ὁποῦ εἶχαν κατοικήσῃ εἰς ξένους τόπους, καὶ αὐτοὶ πλέον ὡς ἴδιοι οἰκοκύριοι τὰ ἐπωλοῦσαν εἰς ἄλλους. Οὗτοι δὲ Τουρκιστὶ λέγονται Μουλτεζίμιδες. Ἤρχησαν δὲ κατ' ὀλίγον νὰ συνάγωνται καὶ ὀλίγοι Τοῦρκοι, πλὴν μὲ φόβον, καὶ ἀκαταστασίαν, καὶ ὡς ἐπὶ τὸ πλεῖστον κεκλεισμένοι, καὶ φυλαττόμενοι εἰς τὸ Κάστρον· διότι μὲ τὸ νὰ ἦτον ἡ Πελοπόννησος ὑποκάτω εἰς τὴν ἐξουσίαν τῶν Ἐνετῶν, οἱ ἐκεῖσε διατρίβοντες Ἕλληνες Ἀθηναῖοι ἀνταμωμένοι καὶ μὲ ἄλλους, ἄνθρωποι εὐτελεῖς, κακότροποι δὲ καὶ κλέπται, ἔκαμναν συχνὰ ἐκδρομὰς εἰς τὰ πέριξ τῆς Ἀττικῆς, καὶ πολλάκις μέσα εἰς τὴν πολιτείαν, ἁρπάζοντες καὶ αἰχμαλωτίζοντες τοὺς προστυχόντας Τούρκους· ὅθεν πρὸς φύλαξιν, καὶ ἀσφάλειαν τοῦ τόπου μὲ βασιλικὸν ὁρισμὸν ἦλθον ὡς φύλακες ξένοι Τοῦρκοι εἰς τὴν Ἀθήναν, ἕως οὗ ἐσυνάχθησαν καὶ οἱ λοιποὶ ἀπὸ τοὺς ἐντοπίους, καὶ οὕτως ἔπαυσε τὸ κακόν.

Ἡ Ἀθήνα τὸ λοιπὸν, ἀγκαλὰ ὑπὸ τὸν Ὀθωμανικὸν ζυγὸν, εὑρίσκετο ὅμως εἰς ἀγαθὴν κατάστασιν, καὶ ἠδύνατο νὰ βαλθῇ πρὸς παράδειγμα εἰς τὰς λοιπὰς πόλεις τῆς Ἑλλάδος, καθὼς καὶ τῇ ἀληθείᾳ ἦτον ζηλωτὴ, καὶ περίφημος. Ἡ μεγαλητέρα της εὐτυχία συνίστατο εἰς τοὺς καλοὺς, καὶ ἀγαθοὺς πολίτας ὁποῦ εἶχεν, οἱ ὁποῖοι εἰς εἶδος Ἀριστοκρατίας ἐβαστοῦσαν πάντοτε τὴν διοίκησιν τῆς πόλεως, καὶ ἐκράζοντο μὲ ἐκεῖνο τὸ παλαιὸν ὄνομα Ἄρχοντες Αὐτοὶ ἐπήγαιναν κάθε ἡμέραν εἰς τὸ λεγόμενον Κονσέγιον, ἤγουν συμβούλιον, συμβουλευόμενοι διὰ τὰ πολιτικὰ, καὶ μίαν φορὰν τὴν ἑβδομάδα, τὴν δευτέραν, ἐσυνάζοντο εἰς τὴν Μητρόπολιν μέσα εἰς τὴν Σύνοδον μαζὺ μὲ τὸν Ἀρχιερέα, καὶ ἔκριναν τὰς διαφορὰς καὶ ὑποθέσεις καθ' ἑνὸς, ὁποῦ εἶχον ἀναμεταξύ τους, καὶ ἔπρεπε νὰ στέρξουν εἰς τὴν ἀπόφασιν τῶν Ἀρχόντων. Πρὸς τὸν Βοϊβόνδα, καὶ Καδῆν δὲν ἐσύχναζον, εἰμὴ μόνον κάθε παρασκευὴν πρὸς χαιρετισμόν. Διὰ δὲ τὰς συμπιπτούσας πολιτικὰς χρείας, καὶ διὰ ὅσους εὑρίσκοντο εἰς τὴν φυλακὴν διὰ διαφόρους προφάσεις, εἶχον δύω νεωτέρους κατὰ τὴν ἡλικίαν, ἢ ἀπὸ τὴν ἰδίαν τάξιν τῶν Ἀρχόντων, ἢ ἀπὸ τὴν δευτέραν, οἱ ὁποῖοι ἐκράζοντο Ἐπίτροποι τῆς Πολιτείας. Αὐτοὶ

λοιπὸν οἱ ἐπίτροποι ἐπήγαιναν χρείας τυχούσης εἰς τὸν Βοϊνβόδα καὶ Καδῆν, πεμπόμενοι κατὰ πάντα ἀπὸ τὴν συμβουλὴν καὶ γνώμην τῶν Ἀρχόντων, καὶ ὡμίλουν ἐλευθέρως τὰ δέοντα ὡς ἀπὸ τὸ στόμα ὅλης τῆς Κοινότητος. Ἐὰν ὅμως κἀμμίαν φορὰν ἐτύχαινε κἀμία μεγαλητέρα χρεία, ἢ οἱ ἐπίτροποι δὲν εἰσηκούοντο εἰς τὸν Βοϊβόνδα, καὶ Καδῆν, τότε ἐπήγαιναν οἱ Ἄρχοντες. Ὁ Βοϊβόνδας εἶχε χρέος νὰ προσφέρεται καλὰ μὲ τοὺς Ἄρχοντας, τουτέστι νὰ ἐξακολουθῇ εἰς τὴν γνώμην τους· καὶ οὕτως ἂν ἤθελον τὸν ἐκρατοῦσαν καὶ διὰ τὸν δεύτερον, εἴτε μή, μόλις ἐτελείωνε τὸν πρῶτον χρόνον. Ὁ λαὸς ἐπρόσφερεν ἄκρον σέβας, καὶ τιμὴν εἰς τοὺς Ἄρχοντας, ὥστε ὁποῦ ἐσυστέλλοντο νὰ ἀπεράσουν καὶ ἀπὸ τὸν τόπον ὁποῦ ἐκάθοντο, καὶ οὐ μόνον οἱ Γραικοί, ἀλλὰ καὶ οἱ Τοῦρκοι οἱ ἴδιοι εὐλαβοῦντο τοὺς Ἄρχοντας· διότι οἱ περισσότεροι ἦσαν γέροντες εἰς τὴν ἡλικίαν, καθὼς καὶ εἰς τὴν φρόνησιν· ὁμοίως καὶ οἱ Ἄρχοντες ἀνταπεκρίνοντο εἰς τὸν λαὸν μὲ ἀγάπην πατρικήν, καὶ ἀψυχοῦσαν τὰ κοινὰ χρήματα, καθὼς καὶ τὰ ἐδικά των· διότι δὲν ἐμεταχειρίζοντο τὰ κοινὰ διὰ πορισμόν, καὶ κέρδος, ἀλλὰ μόνον διὰ καθαρὸν πατριωτισμόν. Αἱ πραγματεῖαι ὅλαι εὑρίσκοντο εἰς τὰς χεῖρας τῶν Ἀθηναίων· διότι οἱ Τοῦρκοι οὔτε ἠμποροῦσαν, οὔτε ἤξευραν νὰ πραγματεύωνται. Ἀπὸ τὰ ὑποστατικὰ τοῦ τόπου μόλις εὑρίσκετο τὸ πολλοστημόριον εἰς τοὺς Τούρκους, οἱ ὁποῖοι διὰ τὴν ὀλιγότητα καὶ πτωχείαν των ἦτον τεταπεινωμένοι, καὶ ὑποκείμενοι εἰς τοὺς ἐντοπίους. Ἔξω ἀπὸ τὸ βασιλικὸν χαράτζι ἄλλο τι δὲν ἐπλήρωναν, εἰμὴ μόνον ἀπὸ ἓν γρόσι τὸν χρόνον οἱ οἰκοκύριοι, αἱ δὲ χῆραι ἀπὸ μισόν, καὶ αὐτὸ ὠνομάζετο Ἁλατζάτικον, ἐπειδὴ δίδοντες τοῦτο ἐλάμβανον ἓν κοιλὸν ἅλας. Αὐτὸ τὸ δόσιμον τὸ ἐδέχοντο οἱ Ἄρχοντες, καὶ μὲ αὐτὸ ἐκυβερνοῦσαν τὰς τυχούσας χρείας, καὶ τὰ ἔξοδα τοῦ Κοινοῦ.

Εἰς τοιαύτην κατάστασιν, καὶ ἁρμονίαν εὑρίσκετο ἡ Ἀθήνα πρὶν τοῦ Σαλῆ Μουσελίμη, δηλαδὴ ἕως εἰς τοὺς 1754, καὶ αὐτὸς ὁ καιρὸς δύναται νὰ τεθῇ ὡς μία ἀπὸ τὰς Ἐποχάς της, διότι ἀπὸ τὸν καιρὸν ἐκεῖνον ἄρχησαν νὰ κλίνουν εἰς τὸ χειρότερον τὰ πράγματα ἐξ αἰτίας τῶν σκανδάλων καὶ ταραχῶν τῶν ἰδίων Πολιτῶν.

ΤΕΛΟΣ

ΤΑ ΛΕΓΟΜΕΝΑ ΑΝΑΡΓΥΡΕΙΑ ΑΠΟΣΠΑΣΜΑΤΑ[1]

ΠΡΟΛΟΓΟΣ ΠΙΤΤΑΚΗ

Τὸ 1822 μετὰ τὴν ἐπιστροφὴν ἡμῶν εἰς Ἀθήνας ἐκ τῶν νήσων Σαλαμῖνος, Αἰγίνης, Καλαυρίας, καὶ ἄλλων μερῶν ὅπου κατεφύγαμεν, βιασθέντες ἀπὸ τὴν ἔφοδον τῶν Τούρκων, ἐρευνῶν τὰ ἐρείπια τῶν Ἀθηνῶν ηὗρον ἐντὸς ὑπογείου Πύργου κειμένου παρὰ τὸ τότε σωζόμενον ἐκκλησίδιον τῆς Μητροπόλεως (ἧς ὁ Ἀρχιερεὺς Γρηγόριος μετέφερεν εἰς τὴν Μητρόπολιν ἔκτοτε πάντα τὰ κτήματα τῆς Καισαριανῆς κινητὰ καὶ ἀκίνητα (sic) καὶ τὴν βιβλιοθήκην αὐτης εἰς τὴν ἰδιοκτητίαν τῆς Μητροπόλεως) φύλλα τινὰ συγγραμμάτων διεσπαρμένα, σπαραγμένα, καὶ καταπατημένα ἀπὸ τοὺς Τούρκους. Τινὰ μὲν τούτων ἦσαν τυπωμένα, τινὰ δὲ χειρόγραφα· ἐκ τῶν δευτέρων ἔκλεξα ὅσα φύλλα ἐνόμισα χρήσιμα καὶ διετήρησα. Ταῦτα δὲ εἰσὶ τὰ μὲν ἐκκλησιαστικά, τὰ δὲ τῆς ἔξωθεν φιλοσοφίας (τὴν λεπτομέρειαν καὶ περιγραφὴν τούτων, ὡς μὴ ἀνήκουσαν ἐνταῦθα παραλείπω)· εἰσὶ δὲ μεταξὺ τούτων τέσσαρα φύλλα χάρτου τῆς Βενετίας, ἐφ' ὧν ἡ εἰκὼν τοῦ Ἁγίου Μάρκου, φέροντα περικοπὰς τῆς ἱστορίας τῶν Ἀθηνῶν, καὶ δύο πατριαρχικὰ ἔγγραφα, τὸ μὲν ἐπὶ μεμβράνης, τὸ δὲ ἐπὶ ἀρχαίου χάρτου. Ὀλίγον δὲ μετὰ ταῦτα ἠγόρασα καὶ ἱστορίαν τινὰ των Ἀθηνῶν χειρόγραφον, γραφῆς μεταγενεστέρας, ἐμπεριλαμβάνουσαν δὲ τήν τε ἀρχαίαν ἱστορίαν τῶν Ἀθηνῶν καὶ τὴν μετὰ ταῦτα καὶ ποιήματά τινα ἱστορικά, ἀναφερόμενα πρὸς τὴν ἐπὶ τὰς ἀρχὰς τοῦ 16 καὶ 17 αἰῶνος ἱστορίαν τῶν Ἀθηνῶν· Γνωρίσας τὸν Κ. Φαλλμεράϋερ (J. Ph. Fallmerayer) ἐν Ἀθήναις τὸ 1835 ἔδειξα αὐτῷ τό τε χειρόγραφον τῆς ἱστορίας, τὰ ῥηθέντα τέσσαρα φύλλα περικοπῶν τῆς ἱστορίας, καὶ τὰ πατριαρχικὰ γράμματα· ὁ Κ. Φαλλαμεράϋερ ἀντέγραψε φαίνεται, τὰ τέσσαρα ταῦτα φύλλα καὶ ἐδημοσίευσε περικοπὰς τούτων ἐσφαλμένως. Τὴν ἱστορίαν ταύτην, καθὼς καὶ τὰ φύλλα, καὶ τὰ πατριαρχικὰ γράμματα ἔδειξα μετὰ ταῦτα εἰς πολλούς.[2]

Ἐπειδὴ εἰς τὰ χωρία (ἅπερ ὁ Κ. Φαλλμεράϋερ ἐδημοσίευσε) παρατηρεῖται διαφορὰ μεγάλη χρόνου, ἥτις ἐγένετο παρ' αὐτοῦ ἥ τε κατὰ παραδρομήν, ἤ τε καὶ ἄλλως πως, καὶ ἐπειδὴ ἡ χρονικὴ αὕτη διαφορὰ συντείνει εἰς εἰκασίας ὅλως ἐσφαλμένας, δημοσιεύω ἐνταῦθα ἅπασαν τὴν ἱστορικὴν ὕλην, ἵνα χρησιμεύσῃ εἰς τὴν σειρὰν τῆς Ἀθηναϊκῆς ἱστορίας.

[1] Ἴδε Ἱστορίαν τῶν Ἀθηναίων Τόμ. Α' σελ. 36—72 καὶ 375.

[2] *Σημ. Πιττάκη.* Τὴν ἱστορίαν ταύτην, καθὼς καὶ τὰ φύλλα καὶ πᾶν ὅ,τι ἄλλο ἔχω ἱστορικὸν ἐζήτησα τὸ 1840 νὰ δημοσιεύσω, καὶ ἡ περὶ τούτου ἀναφορά μου ὑπάρχει εἰσέτι ἐν τοῖς ἀρχείοις τοῦ Ὑπουργείου τῆς Ἐκπαιδεύσεως, ἀλλὰ διὰ τὰς τότε περιστάσεις δὲν ἠδυνήθην, νῦν ἐλπίζω νὰ δημοσιεύσω ἅπαντα ταῦτα ἐν παραρτήματι ἐν τοῖς φυλλαδίοις τῆς Ἀρχαιολογικῆς Ἐφημερίδος.

Τὸ πρῶτον φύλλον ἐμπεριέχει ταῦτα·

Ἀναχωρησάντων δὲ τῶν Ἀλβανῶν καὶ τῶν ἄλλων καταδυναστῶν[1] πάλιν εἰς τὸ τῆς φιλτάτης ἡμῶν ἔδαφος ἐπανήλθαμεν καταφιλοῦντες αὐτὸ περιποθήτως, ἀνακουφισμὸν γὰρ τῶν κόπων ἡμῶν ἐνετύχαμεν· ἐν δὲ τῷ ἔτει τούτῳ εἰσβαλλόντων πάλιν τῶν Φουστιδῶν ἠναγκάσθημεν τὴν ἑστίαν ἡμῶν καταλεῖψαι, κατελήφθησαν οὖν αἱ Ἀθῆναι ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν συκηλάτῳ (sic) παντέρημος ἐπὶ τρία ἔτη, καὶ κατεστάθησαν οἱ ναοὶ ἡμῶν, καὶ αἱ ἑστίαι ἡμῶν φωλεαὶ θηρίων καὶ ἀγρίων ζώων· ὁ δὲ οὐρανὸς ἐγένετο χαλκοῦς, καὶ σιτοδεία μεγάλη κατέσχεν ἡμᾶς, ὥστε ἅπαντες ἐκράξαμεν «ἡμάρτωμεν, ἠνομίσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου», καὶ ὁ παλαιὸς ἡμῶν ὅρμος (ἡ Σαλαμὶς) ἐγένετο ἡμῖν καὶ αὖθις καταφύγιον πλεῖστοι δέ γε μετὰ μαχαιρῶν καὶ ξύλων ἐν τῇ πόλει καταληφθέντες παρανάλωμα ἐχθρικοῦ πυρὸς ἐγένοντο. Οἱ δὲ ἐν τῇ Μονῇ ταύτῃ Πατέρες εἰς τοὺς μυχοὺς τοῦ Ὑμηττοῦ κατέφυγον, καὶ εἰς τὸ τῆς Πεντέλης ὄρος, ἀποφυγόντες ἐχθρικὴν μάχαιραν. Τότε καὶ τὸ τεῖχος τῆς Μονῆς τὸ ἔξω οἰκοδομήσαμεν, καὶ τὴν Ἐκκλησίαν τῆς Ἁγίας Παρασκευῆς ἐπεσκευάσαμεν· οἱ δὲ πολῖται ἀνόρθωσαν τὸ νότιον τεῖχος τοῦ Φρουρίου, ὃ οἱ σεισμοὶ κατέστρεψαν πρὸ δύω χρόνων, καὶ οἱ τὰ χωρία κατοικοῦντες βραδύνειν ἐν ἐκείνοις τοῖς χρόνοις τὴν ταραχὴν νομίσαντες ἐν ἐπικήρῳ οἰκήματι σχιδιάσαντες, εἰς τὴν Φυλὴν τὴν παραχειμασίαν ἐποιήσαντο, καὶ Ἰαγούπηθ εἰς τὴν τοῦ Πέλοπος εἰσῆλθε, καὶ τὴν Μεγαρικὴν κατέστρεψεν· οἱ δὲ τοῦ Ἁγίου Μελετίου ἀδελφοὶ ἡμῶν εἰς τὴν ἡμετέραν Μονὴν εἰσεκομίσθησαν, φέροντες τὴν ψυχὴν αὐτῶν ἐπὶ τῶν χειλέων αὐτῶν, ἀλλὰ «σῶσον ἡμᾶς, Κύριε, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐλέησον ἡμᾶς».

*
* *

Ἐκ δὲ τοῦ ἑτέρου μέρους τοῦ φύλλου γράφονται ταῦτα.

Διὰ δὲ τοῦ δοθέντος αὐτῷ Ὀθωμανοῦ καὶ τοὺς ἰδίους Τούρκους· ἀλλὰ πολὺς χρόνος παρεγένετο, ὅτε ἄγριος φθόνος κατ' αὐτοῦ ἐγένετο, καὶ πάθη ἐμίσησαν αὐτοῦ οἱ Ἀγαρηνοί, οἱ καὶ περιφράξαντες τὸν οἶκον αὐτοῦ, καὶ στενῶς πολιορκήσαντες ἐζήτουν αὐτὸν φονεῦσαι, ἐπέτυχον δὲ αὐτὸν τῇ νυκτὶ προσπαθοῦντα διαφυγεῖν, καὶ ἐπιπεσόντες μετὰ μαχαιρῶν καὶ ξυλων κατασπαράττουσιν αὐτόν, καὶ φονεύ-

[1] *Σημ. Πιττ.* Εἰσβολὴ Ἀλβανῶν ἐγένετο ἐν τῇ Ἀττικῇ καὶ πρὶν καὶ κατὰ τὸ 1770, ὡς λέγεται, καὶ ἐνικήθησαν οὗτοι ἐν τῇ Κηφισσίᾳ παρὰ τὴν ἐκεῖ Ἐκκλησίαν *Χελιδωνοῦ*, καὶ ἀπεδιώχθησαν ἐκ τῆς Ἀττικῆς.

ουσιν αὐτόν. Οὕτω τοίνον ἀπολέσαμεν τὸν χρηστὸν Κυρίου τὸν Λύμπονα, καὶ λυτρωτὴν τῆς πατρίδος. Ἡ δὲ πατρὶς ἡμῶν χηρεύσασα τοῦ καλοῦ αὐτῆς τέκνου ἔπαθε δεινῶς ὑπὸ τῶν Ἀγαρηνῶν· πρότερον γὰρ ὑποσχέσεσι μεγάλαις ἀπατήσαντες τοὺς Χριστιανοὺς ἐφόνευσαν τοὺς προϋχοντας ἡμῶν. Τότε καὶ οἱ πολῖται ἡμῶν θεωροῦντες τὸ ποίμνιον ἄνευ ποιμένος, καὶ τὸν λύκον ἐρχόμενον ἔκλεξαν τὸν Γεώργιον Βενάλδην ἄρχοντα τοῦ λαοῦ εἰς τὸ ὁδηγῆσαι καὶ ποιμάναι τὸν λαὸν τῶν Χριστιανῶν. Ὁ χρηστὸς οὗτος ἐκαλέσατο τοὺς Χριστιανοὺς εἰς τὰς οἰκίας αὐτῶν, πορευθεὶς αὐτὸς εἰς τοὺς μυχοὺς καὶ δριμοὺς τῶν ὀρέων καὶ τῶν ὀπῶν τῆς γῆς, καὶ συνήγαγεν αὐτοὺς καὶ ἐνεψύχωσεν αὐτούς. Ὁ δὲ βασιλεὺς μετὰ τὸν χρόνον τοῦτον φθάσας ἐκ Βοιωτίας εἰς Ἀττικὴν ἠγάσθη τῆς χώρας καὶ τὴν παραλίαν τοῖς φρουροῖς καρποῦσθαι ἐχαρίσατο. Ἐκ δὲ τοῦ ὀνόματος τοῦ τῆς φρουρᾶς ἄρχοντος Μποσταντζῆ *Μποστάνια* ἐκλήθη. Ἔκτοτε οἱ τοῦ Ἄγαρ μονιμοτέρως εἰς τὴν πόλιν ἔμενον, καὶ καθ᾽ἑκάστην ὀχυροῦντο εἴς τε τὸ φρούριον καὶ τὴν πόλιν. Ἐν δὲ τούτῳ τῷ χρόνῳ καὶ ὁ τῆς ἡμετέρας Μονῆς προηγούμενος ἐπλήρωσε τὸ κοινὸν χρέος, ἀπελθὼν ἐν κόλποις Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακὼβ ἐν τόποις·

*
* *

Τὸ δεύτερον φύλλον ἐμπεριέχει τὰ ἑξῆς

Κατ᾽ αὐτὴν τὴν ἰδίαν Ἑκατονταετηρίδα ἡ Ἑλλὰς κατήντησε τόπος τῶν καταδρομῶν· ἡ Ἀττικὴ δ᾽ ἔρημος διὰ τρεῖς σχεδὸν χρόνους·[1] οἱ Ἀθηναῖοι μετέφερον τὰς φαμηλίας των εἰς τὴν Σαλαμῖνα, ἐκεῖ ᾠκοδόμησαν τοὺς οἴκους των οἱ περισσότεροι, καὶ ἐκκλησίας εἰς τὸ χωρίον *Ἀμπελάκια* καλούμενον, τὰς ὁποίας ἄχρι τοῦδε καλοῦν οἱ ἐγχώριοι, τῶν Ἀθηναίων· ἀπὸ τοὺς κατοίκους τῆς Ἀττικῆς ὀλίγοι εἶχον μείνει εἰς τὴν Ἀκρόπολιν, καὶ ἄλλοι τινὲς εἰς μερικοὺς Πύργους τῆς πόλεως·[2] κάθε στιγμὴν ἤρχοντο κλέπται, τοὺς ὁποίους οἱ κάτοικοι ἐκάλουν *φούστας*,

[1] *Σημ. Πιτ.* Ὁ κ. Φαλλμεράϋερ ἀντέγραψε κατὰ λάθος τὸ «τρεῖς σχεδὸν χρόνους εἰς τετρακοσίους σχεδὸν χρόνους», ἴσως τοῦτο εἶναι τυπογραφὸν ἁμάρτημα· ὅτι δὲ τὸ φύλλον λέγει «τρεῖς σχεδὸν χρόνους» τοῦτο εἶδον πολλοί, ὁ μακαρίτης Buchon, ὁ κ· Φίνλαϊ, ὁ κ. Felsen, ὁ Γεώρ. Αἰνιάν, καὶ πολλοὶ ἄλλοι Ἕλληνες.

[2] *Σημ. Πιτ.* Εἰς τὰς τελευταίας ἀνασκαφὰς ἀνεκαλύφθη τεῖχος ᾠκοδομημένον παντοίοις λίθοις πλάτους δύο περίπου μέτρων. Τὸ τεῖχος αὐτὸ ἄρχεται ἀπὸ τὸν Προμαχῶνα, ἐν ᾧ ἡ πηγὴ Κλεψύδρα, κατέρχεται κάτωθεν τῆς Ἐκκλησίας «Ὑπαπαντή», προβαίνει παράλληλον τῆς βορείου πλευρᾶς τῆς Ἀκροπόλεως, καὶ φθάνει μέχρι τῆς ἀνατολικο-νοτίου γωνίας τῆς Ἀκροπόλεως αὐτῆς. Εἰς τὴν

ἐκτυποῦντο μὲ τοὺς ὀλίγους ἐγκατοίκους, ἥρπαζον ὅσα καὶ ἠδύναντο καὶ ἔφευγον εἰς τὰ ὄρη· αἱ οἰκίαι αἱ περισσότεραι ἔπεσον, οἱ δρόμοι ἐγέμισαν, καὶ ἡ πόλις κατήντησεν ὅλη ἓν δάσος ἐλεεινόν· οἱ λῃσταὶ ἔβαζον φωτίαν εἰς τὰ δένδρα, καὶ αὐτὰ καιόμενα κατέκαιον καὶ τὰς ἀρχαιότητας·[1] τότε ἔλαβε τὴν μαύρην μορφὴν τὸ Γυμνάσιον τοῦ....[2], τοῦ ὁποίου μέρος καὶ ἐκρήμνισαν· τότε ἐμαύρισεν ἀπὸ τοὺς καπνοὺς ὁ ναὸς τοῦ Πανελληνίου Διός, καὶ τόσα ἄλλα. Οἱ Ἀθηναῖοι μὴν ὑποφέροντες τὴν ὑστέρησιν τῆς πατρίδος των ἀπεφάσισαν καὶ ἔστειλαν εἰς Κωνσταντινούπολιν, ζητοῦντες ἀσφάλειαν νὰ ἐπανακάμψουν εἰς τὴν πατρίδα τους καὶ νὰ κατοικοῦν ἀσφαλῶς, καὶ ἐπανακάμψουν εἰς τὴν πατρίδα τους[3], καὶ ἐπιτυχόντες τοῦτο ἐπανῆλθον, καὶ συναχθέντες ἤρχισαν νὰ καθαρίζωσι τὴν πόλιν, καὶ τὰ οἰκοδομοῦν τοὺς οἴκους των. Τότε πρῶτον καὶ ὁ Ἱερεὺς Δημήτριος Κολοκύνθης, Ἀθηναῖος, πορευθεὶς εἰς Κωνσταντινούπολιν πρὸς τὸν Πατριάρχην Ἰωανίκιον ἔλαβε πατριαρχικὴν ἄδειαν νὰ κατασκευάσῃ εἰς τὰς Ἀθήνας Μοναστήριον τῶν Ἁγίων Ἀναργύρων, τὸ ὁποῖον καὶ ἐπροίκισε μὲ πολλὰ κτήματα, ὡς ἐκ τοῦ πατριαρχικοῦ γράμματος φαίνεται.[4]

Ἀλλά γε τὸ Μοναστήριον τοῦτο ὕστερον κατεσκεύασε Κοινόβιον εἰς ὃ διέτριψαν ἄνδρες σοφοί, ὅ γε φιλόσοφος Σαμουήλ, καὶ ὁ τὰ τοῦ Πλάτωνος ὑπομνηματίσας Μεθόδιος· τούτων εἷς, λέγω, ὁ ἡμέτερος προηγούμενος Νικηφόρος μετέφερε τὴν τῶν λόγων μάθησιν εἰς τὴν ἡμετέραν Μονήν, καὶ ταῦτα μὲν τῷ χιλιοστῷ.....σιοστῷ πρώτῳ ἔτει.[5] Εἰς τὰς οὐρανίους μονὰς τοῦ ἀδελφοῦ ἡμῶν ἀρτίως ἀποδημήσαντος ὁ πατὴρ ἡμῶν Ἰωάννης ἐδέξατο τὴν τῶν πατέρων φροντίδα· τοῦτον, Κύριε Ἰησοῦ

οἰκοδομὴν τοῦ τείχους τούτου ἐλήφθησαν οἱ λίθοι ἔκ τε τοῦ Βουλευτηρίου, τῆς Θόλου, καὶ τῶν παρακειμένων τῷ τείχει τούτῳ ἀρχαίων οἰκοδομημάτων. Ἡ δὲ οἰκοδομὴ αὕτη ἐγένετο, ὡς ἐγὼ νομίζω, κατὰ τοὺς χρόνους τοῦ Βαλλεριανοῦ.

[1] *Σημ. Πιτ.* Περὶ τοῦ μέλανος χρώματος τῶν ἀρχαίων λειψάνων ἐν Ἀθήναις ὅρα καὶ τὴν ἔκφρασιν τοῦ μακαρίτου Βεναλδῆ.

[2] *Σημ, Πιτ·* Εἰς τὸ φύλλον δὲν ἀναγινώσκεται ἀκριβῶς τίνος Γυμνασίου·

[3] *Σημ. Πιτ.* Δὶς ἀναφέρεται ἡ φράσις αὕτη εἰς τὸ φύλλον.

[4] *Σημ. Πιτ.* Ὅρα τὸ πατριαρχικὸν ἔγγραφον περὶ τούτου, τὸ ὁποῖον ἐδημοσιεύθη ἐνταῦθα ὑπὸ σελ. 945 [Ἀρχ. ἐφημ. 1853].

[5] *Σημ. Πιτ.* Πέντε γράμματα ἐξηλείφθησαν ἐνταῦθα ἐπίτηδες ἀπὸ τοὺς ἀναγνώσαντας τὸ χειρόγραφον τοῦτο, εἰς τοὺς ὁποίους καλοκαγάθως ἄφησα τρεῖς μόνον ὥρας, ὅτι δὲ εἶναι τὸ ἔτος 1626 ἐξάγεται καὶ ἀπὸ τὸ πατριαρχικὸν τοῦ Ιωαννικίου ἔγγραφον, εἰς ὃ φαίνεται τὸ ἔτος κάλλιστα, καὶ τὸ ὁποῖον διαλαμβάνει τὴν ἄδειαν Παρθεναγωγείου τῆς Μονῆς τῶν Ἁγίων Ἀναργύρων, ὃ ὁ Ἱερεὺς Δημήτριος Κολοκύνθης κατεσκεύασε,

Χριστέ, σῶσον καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς Ἐκκλησίας σου στήριξον, ἁγίασον τὴν εὐπρέπειαν τοῦ Οἴκου σου.

Τὴν εἰκοστὴν τοῦ Μαΐου ἀπῆλθεν εἰς τὰς αἰωνίους μονὰς ὁ μακαρίᾳ τῇ λήξει Γεράσιμος, ὁ συνάδελφος ἡμῶν καὶ προηγούμενος· ἐγὼ δὲ ἐκ Διακόνου Θείᾳ χάριτι καὶ φιλανθρωπίᾳ ἐχειροτονήθην Πρεσβύτερος καὶ τὴν τῆς σημειώσεως τάξιν ἐνεδυσάμην· «Βοήθησον ἐμὲ, ἐμὲ, Κύριε, καὶ δὸς τὴν Θείαν σου χάριν, ἵνα πορεύσωμαι τὰς τρίβους τῶν ἐντολῶν σου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου».

Τῷ ἔτει τούτῳ μέγας σεισμὸς ἐγένετο, καὶ ἅπαντες οἱ οἶκοι ἐσείσθησαν, καὶ ἡ Ἐκκλησία τοῦ Ἁγίου Διονυσίου εἰς δύο ἐσχίσθη, καὶ ὁ τοῦ Ἀρχιερέως οἶκος κλόνῳ μέγα καὶ λίθῳ ἐκ τοῦ Βράχου προσβληθεὶς τὸ ἀνώγεον ἐκρημνίσθη. Τοῦτο δὲ ἐγένετο τὸ ἑσπέρας τοῦ Ἁγίου Χαρίτωνος· πολλοί τε οἶκοι τῆς τοῦ Σωτῆρος Νικοδήμου Μονῆς κατεκρημνίσθησαν, καὶ ἡ Βασιλικὴ Ἐκκλησία ἐρράγη, καὶ τῇ τρίτῃ ἡμέρᾳ εἰς τὴν Μητρόπολιν ὁ Δημήτριος κεραυνῷ βληθεὶς ἐτελεύτησεν, ἀφήσας ὀρφανὰ καὶ χή[ραν].

* *
*

Τὸ τρίτον φύλλον ἐμπεριέχει τὰ ἀκόλουθα.

Τὰ φορέματα τῶν Ἀθηναίων ἦσαν εἰς μὲν τὴν κεφαλὴν ἕνα μεταξωτὸν σκιάδιον, εἰς τὸν κορμὸν καὶ λοιπὰ μέρη τοῦ σώματος ἕνα ὑποκάμισον μὲ γραμμὰς ἐρυθράς, ὡς καὶ τώρα φοροῦσιν, εἰς δὲ τοὺς πόδας ἐφόρουν μικρὰ ὑποδήματα, ὁποῖα συνειθίζουν ἀκόμη οἱ κάτοικοι τῶν χωρίων τῆς Ἀττικῆς. Ταῦτα δὲ ἔκ τε τῶν πατέρων ἡμῶν ἠκούσαμεν, καὶ ἡμεῖς ἴδομεν.

Σήμερον τῇ ἀναστασίμῳ ἡμέρᾳ μαθόντες, ὅτι ἐχθρικὰ πλοῖα εἰς τὸ ἄκρον τῆς Ἀττικῆς ἔφθασαν καὶ ἔμειναν ἐκεῖ· φόβος καὶ τρόμος ἐκάλυψε πάντας ἡμᾶς, καὶ τὴν πυρκαϊὰν αὐτῶν ἐκ τῆς Μονῆς ἴδομεν τοῦ ὄρους κατακαιομένου. Τινὲς δὲ εἶπον ἡμῖν, ὅτι καί τινα τῶν ἐκεῖ Ἑλληνικῶν κτιρίων κατέστρεψαν, ὅπως μόλυβδον καὶ θησαυρὸν εὕρωσιν. Ἅπασα δὲ ἡ χώρα φοβουμένη καὶ τρέμουσα εἰς τὴν πόλιν καὶ τοῖς μονίδροις τοῖς ὀχυροῖς κατέφυγον, καὶ τὸν εἰς τὸν ἀγρὸν τοῦτον ἀσκητεύοντα εὑρόντες οἱ ἀσεβεῖς τῷ πυρὶ ἔρριψαν, δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν, ὅτι κατὰ τοῦ Χριστοῦ σου εὐσεβῆ ἐβουλεύσαντο, καὶ ἔπραξαν· τῷ χρόνῳ τούτῳ ἐφορία ἐγένετο σίτου, οἴνου καὶ ἐλαίου, καὶ ἐχορτάσθημεν, καὶ ἐνεδύθημεν.

Τῇ δὲ ἡμέρᾳ τῆς τοῦ Κυρίου Ἀναλήψεως ἐπλήρωσε τὸ κοινὸν χρέος ὁ ἐν Ἱερομονάχοις ἀδελφὸς ἡμῶν Ἀρσένιος· ὁ Ἅγιος τοῦ Ἰσραὴλ ἐλε-

ήσει καὶ σώσει τὴν ψυχὴν αὐτοῦ ἐν κόλποις Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, ἐν σκηναῖς δικαίων, ὅπως δέηται καὶ ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν τῷ . . . .

ΤΟ ΣΧΕΤΙΚΟΝ ΠΡΟΣ ΤΟ Β′ ΦΥΛΛΟΝ ΣΙΓΙΛΛΙΟΝ

Ἰωαννίκιος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Πολλὰς ἂς εὕρῃ τις, φιλοπόνως ἐγκύπτων ταῖς ἱεροτελεστικαῖς γραφαῖς, εἰσηγήσεις παρορμούσας τε καὶ παροτρυνούσας τοὺς τῆς παροικίας ταύτης, διὰ τῆς παραβάσεως, λαχόντας οἰκεῖν, πρὸς τὸ συναγελάζεσθαι καὶ συνδιαιτᾶσθαι ἀλλήλοις, καὶ φύσει κοινωνικὸς ὁ ἄνθρωπος καὶ ἀγελαστικὸν ζῶον παρὰ Θεοῦ δεδημιούργηται· τίνα γὰρ ἄλλο, τὸ αὐξάνεσθαι καὶ πληθύνεσθαι παρὰ Θεοῦ εἰρημένον ἐντέλεται; ἢ ὅτι κοινωνικὴν ζωὴν μετ' ἀλλήλων ἔχειν τοὺς ἀνθρώπους διορίζεται· ἐκείνων μόνον ἐξαιρουμένων τῶν κατερήμους τὰς διατριβὰς ποιεῖσθαι προελουμένων, καὶ μόνῳ Θεῷ καὶ ἑαυτοῖς προσλαλούντων, τὰς αἰσθήσεις μυσάντων, ὅτι μὴ πᾶσα ἀνάγκη κεῖται, καὶ τῶν τοιούτων πολλάκις συνερχομένων, καὶ δι' ὁμιλίας ἀνακουφιζόντων τὴν ἐν μονοκοιτίᾳ τραχύτητα, ἀλλ' ἐκείνων καὶ μόνων ἐξαρκεῖ συνηγορῆσαι τε καὶ συστῆσαι τὴν κατὰ Θεὸν ἀδελφικὴν ἑνότητα, ὅπερ ὁ Προφητάναξ Δαβὶδ πνευματοκινήτως ἔψαλλε λέγων, «Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τῷ αὐτῷ, ὅπερ καὶ μύρῳ πολυτελεῖ καὶ εὐώδει καταβαίνοντι ἐπὶ τὸν πώγωνα Ἀαρὼν, τουτέστι τῶν ἱερέων, καὶ ἐκ περιουσίας ἐγκωμιάζων τὴν ἑνότητα ταύτην, δρόσῳ ἀερμὸν, τουτέστιν ὑψόθεν, ἐπὶ τὰ ὄρη Σιὼν καταβαινούσῃ παρεικάζει· καρπὸς δὲ τῆς τοιαύτης ἑνότητος ζωὴ καὶ εὐλογία παρὰ Θεοῦ τῷ αὐτῷ ἱεροψάλτῃ εἴρηται, καὶ τί ταῦτα φημί; ὅπου γε ὁ Καθηγητὴς τῆς σωτηρίας ἡμῶν ὁ Θεάνθρωπος Ἰησοῦς ταῦτα γε ἐπιβεβαιούμενος ἔλεγεν· «ὅπου εἰσὶ δύω ἢ τρεῖς συνηγμένοι ἐν τῷ ἐμῷ ὀνόματι κἀγὼ ἐν μέσῳ αὐτῶν»· εἰ οὖν δύο ἢ τριῶν ἐν τῷ ὀνόματι Ἰησοῦ συνδιατριβόντων ἀλλήλοις ὁ Σωτὴρ ἐν μέσῳ αὐτῶν ἐπαγγέλλεται εἶναι, πολλῷ μᾶλλον πλειόνων συνδιαιτωμένων, τῇ κατὰ Θεὸν ἀγάπῃ καὶ τῷ κοινωνικῷ βίῳ, ἐλεύσεται παρ' αὐτοῖς καὶ μονὴν ποιήσει· πρὸς γὰρ τοῖς ἄλλοις οἷς ἡ κοινωνικὴ ζωὴ κέκτηται ἀγαθοῖς ἔσχηκε καὶ τὸ ἀλλήλων τὰ βάρη βαστάζειν, καὶ νῦν μὲν συγκακουχεῖσθαι, νῦν δὲ συνήδεσθαι· καὶ γὰρ ὥσπερ ἐν ὀργανικῷ σώσματι διάφορα

μέλη ὀφθαλμοί, χεῖρες, ὦτα κτλ. ὑπηρετοῦσι μὲν ἀλλήλοις, ἀπαρτίζουσι δὲ τὴν τοῦ σώματος ὁλοκλήρου φύσιν, οὕτω καὶ τῷ κοινωνικῷ βίῳ, ἄλλος ἄλλου χρείαν ἀποπλειροῖ εἰς μιᾶς καὶ συμφώνου εὐχαριστίας συνάρτησιν. Ὅθεν καὶ Μοναὶ μὲν ἐξ ἀρχῆς τοῖς Θεοσεβέσιν ἐπινενόηνται. Κοινόβιον δὲ ταύτας προκαταρξάμενοι τούτων διετάξαντο εἶναι, ἵνα τοὺς ἐνδιαιτωμένους ταύταις ἀπέχεσθαι μὲν τῶν κοσμικῶν, κοινωνεῖν δὲ ἀλλήλων τῇ κατὰ Θεὸν κοινωνίᾳ, καὶ ὡς ἐξ ἑνὸς στόματος καὶ καρδίας μιᾶς ὕμνους εὐχαριστηρίους ἀναπέμπειν Θεῷ.

Ταῦτ' ἄρα καὶ ὁ ἐξ Ἀθηνῶν εὐλαβέστατος ἐν Ἱερεῦσι Δημήτριος τὸ ἐπίκλην Κολοκύνθης, ἀνὴρ Θεοσεβὴς ὤν, καὶ τῶν τῇδε ὡς αστάτων περιφρονῶν, ἔρωτι Θείῳ κινηθείς, καὶ τὸ ἐν μοναδικῇ πολιτείᾳ Κοινόβιον ποιούμενος περὶ πολλοῦ, καὶ τὴν ἀπ' ἐκείνου ὠφέλειαν, ἐβούλετο μέν, ὥσπερ ἡ ἐμφανισθεῖσα τῇ ἡμῶν μετριότητι αὐτοῦ διαθήκη διαλαμβάνει, «προσηύχετο δὲ τῷ Θεῷ εἰς πέρας ἀγαγεῖν τὴν Θεοφιλῆ αὐτοῦ βούλησιν», καὶ δὴ τοῦ Θεοῦ εὐδοκήσαντος, συνεργοὺς τῷ προκειμένῳ αὐτοῦ σκοπῷ εὑρὼν ἀφιέρωσε μὲν τῷ Θεῷ τὸν ναὸν τῶν Ἁγίων καὶ Θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ (κτῆμα) προπατορικὸν αὐτοῦ ὄν, ἐν ᾧ αὐτός τε καὶ οἱ πρὸ αὐτοῦ ἐκ τοῦ γένους αὐτοῦ καταγόμενοι ἔψαλλον τῷ Θεῷ· ἀνέθηκε δὲ τῷ ναῷ πᾶσαν τὴν πατρικὴν αὐτοῦ κληρονομίαν, τήν τε ἐντὸς τῆς περιοχῆς τοῦ ναοῦ καὶ τὴν ἐκτός, κελλία δηλαδή, καὶ δένδρα ἐλαιῶν, καὶ ὀσπήτια, ἀνώγαια καὶ χαμόγαια, καὶ ἀμπελῶνας, καὶ πρὸς τούτοις σκεύη ἱερά, καὶ κειμήλια τῆς ἐκκλησιαστικῆς ἀκολουθίας, κατὰ τὴν περίληψιν τῆς διαθήκης αὐτοῦ, ἐν ᾗ κατ' εἶδος ἅπαντα κατὰ τὴν ὁροθεσίαν ἑνὸς ἑκάστου τῶν ἀφιερωθέντων αὐτοῦ κτημάτων ἐμπεριέχεται, καὶ ἀποκατέστησε τόν τε ναὸν καὶ ἅπασαν τὴν λοιπὴν αὐτοῦ πατρικὴν κληρονονομίαν Μοναστήριον γυναικεῖον Κοινόβιον, ὅπερ ἡ μετριότης ἡμῶν μετὰ τῆς περὶ αὐτὴν Ἱερᾶς τῶν Ἀρχιερέων Συνόδου ἐπιβεβαιοῦσα καὶ ἐπιτηροῦσα, ὡς ἔνθεον καὶ θεοφιλὲς ἔργον ἀποφαίνεται ἐν Ἁγίῳ Πνεύματι, ἵνα τὸ γυναικεῖον τοῦτο Μοναστήριον τὸ ἐν Ἀθήναις τιμώμενον ἐπ' ὀνόματι τῶν Ἁγίων καὶ Θαυματουργῶν Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, ὅπερ ἀπεκατέστησεν ὁ ἐν Ἱερεῦσιν εὐλαβέστατος Δημήτριος, μένῃ Κοινόβιον, καὶ διεξάγεται κατὰ τοὺς Νόμους τῶν Κοινοβίων, πάντα δηλονότι τὰ τῶν ἐνασκουμένων ἐν αὐτῷ Μοναχῶν Καλογρέων μεθ' ὅσων ἐν αὐτῷ εἰσέρχονται, καὶ μετὰ τὴν απόκαρσιν κέκτηνται εἶναι κοινά, πρὸς χρῆσιν καὶ κυβέρνησιν τῆς συνοδίας ἁπασῶν, καὶ μηδεμίαν ἄδειαν ἔχειν μετὰ τὸ τελευτῆσαι καὶ τῆς παρούσης ἐκδημῆσαι ζωῆς τινὰ τῶν ἐν αὐτῇ τῇ Μονῇ τὸν μονήρη μετερχομένων βίον τοὺς συγγενεῖς αὐτῆς παρακατέχειν καὶ κληρονομεῖν τι τῶν τῆς τε-

λευτησάσης πραγμάτων, ἀλλὰ μένειν ἐν τῷ Μοναστηρίῳ ἅπαντα, ἤ τε κινητὰ εἶεν, ἤ τε ἀκίνητα, καὶ σώζεσθαι, καὶ διαφυλάττεσθαι Κοινόβιον ἀπαράτρεπτον, καὶ ἀκαταπάτητον, καὶ ἀκατοδούλωτον, μηδενὸς ὅλως τολμῶντος σφετερίσασθαι, καὶ ἁρπᾶσαι πολλὰ ἢ ὀλίγα τοῦ κοινοβιακοῦ τούτου Μοναστηρίου, μόνον τοῦ ὀνόματος τοῦ κατὰ καιροὺς προϊσταμένου Ἀρχιερέως μνημονευομένου ἐν ταῖς ἱεραῖς τελεταῖς. Εἰ δέ τις φανῇ ἐνάντιος καὶ ἀπειθὴς τῆς τοιαύτης ἐπικυρώσεως καὶ βεβαιώσεως, βουλόμενος ὑπὸ τῆς σατανικῆς αὐτοῦ πλεονεξίας ἁρπᾶσαι τι τῶν τοῦ Μοναστηρίου, προφασιζόμενος δῆθεν ὡς κληρονόμος ὤν, τελευτησάσης τινὸς τῶν ἐν αὐτῷ Καλογρέων, ὁ τοιοῦτος ὡς ἱερόσυλος καὶ κλέπτης προφανὴς, ἱερομένος μὲν ὢν ἀργὸς ἔστω πάσης ἱεροπραξίας, καταφρονῶν δὲ, καὶ ἀφωρισμένος, ἄξιος τελείας καθαιρέσεως, μὴ συμφορούμενος ἢ συλλειτουργούμενος καὶ ὡς ἱερεὺς τιμώμενος, ἐν ἀργίᾳ καὶ ἀφορισμῷ· λαϊκὸς δὲ ἀφωρισμένος εἴη παρὰ Θεοῦ Παντοκράτορος, καὶ κατηραμένος καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον αἰωνίως καὶ τυμπανιέως, καὶ ἐχέτω καὶ τὰς ἀρὰς τῶν ἁγίων τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων τῶν ἐν Νικαίᾳ, καὶ τῶν λοιπῶν ἁγίων Συνόδων. Ὅθεν ἐγράφη καὶ τὸ παρὸν συγγιλιῶδες γράμμα εἰς ἐπικύρωσιν καὶ βεβαίωσιν τοῦ Κοινοβίου τούτου, καὶ ἐπεδόθη ταῖς ἐν αὐτῷ ἐνασκουμέναις Μοναχαῖς εἰς ἔνδειξιν καὶ διηνεκῆ τὴν ἀσφάλειαν.

Ἐν ἔτει τῷ σωτηρίῳ χιλιοστῷ ἑξακοσιοστῷ πεντηκοστῷ πρώτῳ, μηνὸς Ἰουλίου δεκάτην ἑβδόμην, Ἰνδικτιῶνος τετάρτην.

ΙΩΑΝΝΙΚΙΟΣ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

Ὁ Ἡρακλείας *Μεθόδιος,* ὁ Κυζίκου *Ἄνθιμος,* ὁ Δέρκων . . ., ὁ . . . *Παΐσιος,* ὁ . . . *Θεόκλητος,* ὁ Προύσης *Κλήμης,* ὁ Ἀθηνῶν *Δανιήλ,* ὁ . . . . *Παρθένιος,* ὁ Διδιμοτείχου . . . . . ., ὁ πρώην Γαυ. . . . *Πορφύριος,* ὁ · . . . .[1]

[1] *Σημ. Πιτ.* Τινὰς τῶν ὑπογραφῶν τούτων μὴ δυνηθέντες νὰ ἀναγνώσωμεν θέτομεν ἐπὶ τοῦ μέρους τούτου στιγμάς.

[ΘΡΗΝΟΣ]

Περὶ τῆς ἀναλώσεως καὶ τῆς αἰχμαλωσίας ἢ γέγονεν ὑπὸ Περσῶν εἰς Ἀττικὴν Ἀθήνα[1]

Ὦ τῶν θαυμάτων τῶν κοινῶν! ὢ τῆς δικαίας κρίσις!
ὢ τῆς μακροθυμίας σου, Χριστέ μου, τῆς μεγάλης!
ἡ κρίσις τῆς πανάκουστης, τῆς πάλαι γεννημένης,
ἐν τῇ Ἀθήνᾳ τῇ δεινῇ τῇ παμμεγέθει πόλει,
τὴν πάντων τὴν ἐξάκουστον ἐν πόλεσι καὶ χώραις,
τῶν μαθημάτων τὴν ἀρχὴν καὶ τῆς φιλοσοφίας,
τὴν ἡλιομαρμάρωτον καὶ πάντεχνον κτισμένην,
τὴν Ἀττικὴν τὴν πάγχρυσον, τὴν μητέρα τῶν λόγων,
τοὺς πολλοὺς μαθητεύσασαν ἔκπαλαι μέχρι τοῦδε,
Γρηγόριον Ναζιανζοῦ τὸν μέγαν Θεολόγον,
Βασίλειον, Χρυσόστομον, ἅπαντας τοὺς φωστῆρας,
γραφῆς τὴν τέχνην ἅπασαν τὴν ἔσω καὶ τὴν ἔξω,
ἄρξομαι δὲ ἀπὸ τοῦ νῦν τοῦ διηγεῖσθαι ταῦτα
περὶ τῆς ἀναλώσεως καὶ τῆς αἰχμαλωσίας,
τὴν ἐποίησαν εἰς αὐτὴν τὸ Περσικὸν τὸ γένος
ἡ ῥίζα ἡ παμβέβηλος τοῦ Χὰμ τοῦ κατηγόρου.

Ἀρχὴν αἰχμαλωτίσασιν Λεγουρικοῦ τὸ μέρος,
δεύτερον, τρίτον ἦλθασιν εἰς τὸν αὐτὸν τὸν τόπον,
ἐσκώτωσαν τοὺς ἱερεῖς τοὺς λειτουργοὺς τοὺς . . . .
τοὺς γέροντας τοὺς φρόνιμους καὶ τὴν βουλήν των ὅλην,
ὑπὲρ ψυχῆς καὶ σώματος [καὶ] πάντων τε πραγμάτων,
ἐνέπρησαν τὰ ὀσπίτια μετὰ τοῦ πλούτου ὅλου,
τὰς ἐκκλησίας ἐμίωσαν, ἐμόλυναν εἰκόνας,
ἐμίωσαν, ἐμαγάρισαν γυναῖκας παρὰ φύσιν,
μᾶλλον ἀρσενοκοίτησαν τοὺς πλείονας τῶν παίδων.

Κάθεται Ἀθήνα καὶ *θρηνεῖ*, κλαίει καὶ οὐχ ὑπομένει·
«Οὐαί μοι τὴν ταλαίπωρον, οὐαί μοι τὴν ἀθλίαν,
οὐαί μοι τὴν ἁμαρτωλὸν πλεῖον παρὰ τὰς ἄλλας·

[1] Τὸ ὑπὸ ἱστορικὴν ἔποψιν πολύτιμον ποίημα τοῦτο ἀνήκει εἰς τὰ χειρόγραφα τῆς Αὐτοκρατορικῆς Βιβλιοθήκης Πετρουπόλεως. Τὰ καθέκαστα ἐν τῇ Ἱστορίᾳ τῶν Ἀθηναίων. Τόμ. Α΄.

οὐαί μοι τὴν παλαίζηλον καὶ φθόνων γεμισμένην,
οὐαὶ τὴν κατονείδιστον περὶ τὰς πόλεις ὅλας,
ἔκπαλαι τῆν παμφούμιστον περὶ τὰς πόλεις ὅλας,
οὐδέποτε τὴν κύψασαν ποσῶς εἰς δουλοσύνην,
τὴν ἀνδρειωμένην πάντοτε περὶ τὸν κόσμον ὅλον,
τὴν φρένιμον, καὶ πάνσοφον περὶ τὰς πόλεις ὅλας,
τὴν γεμισμένην τῶν λαῶν ὡς πλῆθος τῆς μελίσσης.
«Φεῦ μοι πῶς κατερείπομαι ὑπὲρ τὸν κόσμον ὅλον,
καὶ γέγονα παγγέλαστος ὅλων τῶν γειτονειῶν μου·
τὰς εἶχα εἰς τοὺς πόδας μου τώρα εἰς τὸ κεφάλιν,
τὸ ποῦ νὰ εἰπῶ τοὺς πόνους μου τοὺς ἀπαραμυθήτους.
ἐκόψασιν τοὺς πόδας μου ἤγουν τὰ Λεγουρία
εἰσήλθασαν τὸν νόμον μου . . . .
ἄλγησαν τὴν καρδίαν μου ὑπὲρ Σωπολιάτας!»

Πάλιν Ἀθήνα κόπτεται πάλιν Ἀθήνα κλαίει·
«Ὦ Σωπολιάτες μου καλοί, ποῦ νὰ σᾶς καταντήσουν,
ὦ γεωργοὶ παμφούμιστοι εἰς ἅπαντα τὸν κόσμον,
τοὺς εἶχα φοῦμος κ' ἔπαινος εἰς ὅλον μου τὸ κράτος,
τοὺς τρέφοντας τὸ κράτος μου ἀπὸ παντὸς πραγμάτου,
τοὺς ζήσαντας ἐλεύθερα, μετὰ χαρᾶς μεγάλης·
τώρα σκλάβοι ἐκλήθησαν καὶ εἰς Περσίαν 'πάγουν!»

Πάλιν Ἀθήνα ὀδυρμοὺς ἐκ βάθους ἀναπέμπει·
«Ὦ δέντρη μου πανώραια, καὶ τίς θὰ σᾶς ἀρδεύσῃ;
τίς νὰ ῥαβδίσῃ τὸν καρπὸν ὡραῖον τὸν 'δικόν σας;
τίς νὰ ποιῇ τὸ ἔλαιον τὴν ἀρτισίαν τοῦ κόσμου,
τὴν λυχνοψίαν τοῦ φωτὸς καὶ φωταυγίαν τοῦ σκότους;
ὦ παραδείσιά μου τερπνά, καὶ τίς νὰ σᾶς γεργεύῃ;
ἄρουραί (μου) ἐξάκουσται, καὶ τίς νὰ σᾶς τρυγήσῃ;
ἡ γῆς μου ἡ πολύσπορος, τίς νὰ σὲ κατασπέρνῃ;
Τοὺς γεωργοὺς ἐπῆράν τους τὸ Περσικὸν τὸ γένος,
καὶ ἔρημον σὲ ἄφηκαν ἀπὸ παντὸς πραγμάτου,
ζωή μου ἡ παμπλούμιστη, χρυσῆ καὶ κοσμημένη·
οὕτως καὶ σὺ Σωπόλιον ὀπώρας γεμισμένον.

Οὐαί μοι τὴν ταλαίπωρον, οὐαί μοι τὴν ἀθλίαν . .
καὶ τὸ κεφάλιν μου μετὰ ὀλίγου τοῦ σφονδήλου,

καὶ τοῦτο φοβερίζουν το νὰ μὲ τὸ καταταλύσουν.
Καὶ ταῦτα ὅλα ἔπαθον διὰ τὰς ἀνομίας,
τὰς ἀδικίας τὰς πολλὰς καὶ (τὰς) παρανομίας.
Καὶ σύ, πανάχραντε ἁγνή, ἐν πόλει τῇ Ἀθήνᾳ,
ἐκδίκησον τὴν πόλιν σου, τὴν ταπεινὴν Ἀθήναν,
καὶ τὸν λαόν σου σύναξον ἐκ μέρους τῆς Περσίας

ΑΙ ΠΑΡΑ ΤΩι ΚΡΟΥΣΙΩι ΕΠΙΣΤΟΛΑΙ

ΕΠΙΣΤΟΛΗ ΚΡΟΥΣΙΟΥ ΠΡΟΣ ΖΥΓΟΜΑΛΑΝ

Τῷ τοῦ Παναγιωτάτου Κωνσταντινουπόλεως Πατριάρχου πρωτονοταρίῳ κυρίῳ λογιωτάτῳ ἐν Χριστῷ χαίρειν

Χαλεπὸν μὲν ἴσως τὸ ἀγνῶτα με προσφωνεῖν σοι, κύριε λογιώτατε, ἄλλως τε καὶ μήτε τὸ ὄνομά σου, μήτε τὸν τρόπον τοῦ προσφωνεῖν εἰδότα, τολμητέον δ' ὅμως. Βιάζεται γάρ με ἡ φιλέλλην μου σπουδή, βιάζεται ἡ χρηστότης σου, πῇ μὲν ἤδη φανερά μοι γενομένη, πῇ δ' ἔτι ἐλπιζομένη. Εἰ μὲν γὰρ μὴ διακαῶς περὶ τὰ ἑλληνικὰ σπουδάζοιμι, δοκεῖς ἄν μοι τοσοῦτον περιγενέσθαι τόλμης, ὥστε τὸν παναγιώτατον Πατριάρχην ὑμῶν, τὸν ἐν οὕτως ὑψηλῷ βαθμῷ ἀξιώματος ὄντα, διὰ γραμμάτων ἐνοχλῆσαι. Ἀλλὰ (Θεῷ χάρις) εὐωδώθη τὸ πρᾶγμα, γενομένης παρὰ τῆς ἁγιότητος αὐτοῦ ἀποκρίσεως οἵας εὐνουστάτης. Σὲ δὲ πάνυ χρηστὸν καὶ σπουδαῖον ἐς τὸ πρᾶγμα γενέσθαι μαρτυρήσειεν ἂν βέλτιστα καὶ ἀληθέστατα ὁ καλὸς ἡμῶν Γερλάχιος. Χάριν οὖν σοι ἔχω μάλα δικαίως, ὡς οὐ μόνον κατὰ τὸν παρελθόντα χρόνον εὐεργέτῃ γενομένῳ, ἀλλὰ καλὴν ἐλπίδα, ὡς καὶ ἀπὸ τοῦδε πρὸς τὰ σπουδαζόμενά μοι χρήσιμος ἔσῃ, παρασχομένῳ. Ταύτῃ δὴ τῇ ἐλπίδι πεποιθὼς ἐγώ, δύο ταῦτα νῦν ἡδέως ἂν γινώσκοιμι. Ἓν μέν, τίνες ἔτι πόλεις ἑλληνικαὶ ἀπόρθητοι καὶ ὀρθαὶ μένουσιν, ἐπίσημοι οὖσαι (οἷα : Θεσσαλονίκη, Ἀθῆναι, Χαλκηδών, Νίκαια, ἄλλαι) καὶ τίσιν ὀνόμασιν σήμερον ὀνομάζονται, καὶ ἐν τίσιν αὐτῶν Μητροπολῖται, Ἀρχιεπίσκοποι, Ἐπίσκοποι ἔτι καὶ νῦν ἐκκλησίας Χριστοῦ διοικοῦσιν, ὡς μάλα ἐμοῦ χαίροντος ἂν τούτων εὐδρόμων οὐσῶν· Ἕτερον δέ εἰ ἄρα τέχνη περὶ τῆς σήμερον καὶ δη μώδους γραικῆς φωνῆς καὶ λεξικόν τι ξυγγέγραπται, ἢ ἡ Καινὴ Δια-

θήκη τοῦ Σωτῆρος ἡμῶν εἰς τήνδε τὴν διάλεκτον μετεβλήθη, καὶ πόθεν ἂν τούτων τυχεῖν δυνηθείην. Βουλοίμην γὰρ ἂν καὶ τῆς καινουργηθείσης ταύτης (ἧς ἤδη μικράν τινα γεῦσιν ἔχω) μέχρι τοῦ γνῶσιν (μόνον τοῦ συνιέναι τὰ ἐν αὐτῇ ἐκδοθέντα) τῇ παλαιᾷ καὶ γνησίᾳ ἑλληνικῇ γλώσσῃ συνάπτειν, ὡς οὐ καλόν, ἔμοιγε δοκεῖν, τὰ ἀρχαῖα εἰδότα πῃ, τῶν παρὰ πόδας πάντῃ σχεδὸν ἀμαθῶς ἔχειν. Διὸ πρὸς τῇ Λατινικῇ φωνῇ πρὸ πλειόνων ἐτῶν καὶ τὴν Ταλιανὴν καὶ τὴν Κελτικήν, ἐκείνης ἀπορρῶγας οὔσας, συνεῖναι ἐμελέτησα. Οὐ μὲν οὐ σοίγε, κύριε, δι' ἐκείνων ἐπαχθὴς ἂν εἶναι θέλοιμι, τῷ δ' ὑμῶν Γερλαχίῳ συμβουλῆς τινος, ἢ καὶ μετρίας βοηθείας, εἰς τὸ τούτων ἐπίβολόν με ποιεῖν, ὑπὸ τῆς χρηστότητός σου μεταδίδοσθαι. Ταῦτα μὲν οὖν ἐν τῷ παρόντι γράφειν ἔδοξεν, ἃ μετ' ἐπιεικείας παρακαλῶ σε, τίμιε κύριε, ὡς ἄνδρα θεοσεβῆ καὶ φιλόξενον ὄντα, δέχεσθαι. Σφόδρα δὲ χαρίσῃ, ἐάν με ἀποκρίσεως ἀξιώσῃς, εἰ διὰ μηδὲν ἄλλο, ἀλλὰ τοῦ ἑλληνικοῦ γε πολλῶν σπουδαίων παρ' ἐμοὶ ἀκροατηρίου τιμῆς καὶ ὠφελείας ἕνεκα· Τέλος δὲ τὸ πεμφθὲν ὑπ' ἐμοῦ βιβλιαρίδιον εὐνοϊκῶς δέχοιο, καὶ τῆς σῆς με προσηνείας ἀξιοῖς. Ἔρρωσο ἐν Χριστῷ Ἰησοῦ, ἐν ᾧ μόνῳ ἐνθανούμεθα Σωτῆρι· ἀμήν.

Ἀπὸ Τυβίγγης τῇ κα' μηνὸς Ἰανουαρίου ἔτει τῆς ἐνσάρκου οἰκονομίας αφοε' (1575).

Μαρτινος ὁ Κρουσιος

ΑΠΑΝΤΗΣΙΣ ΖΥΓΟΜΑΛΑ

Τῷ σοφῶς καὶ ἀρίστως προϊσταμένῳ τῆς ἑλληνίδος καὶ λατινίδος παιδείας ἐν τῇ Τυβιγγίᾳ Ἀκαδημείᾳ κυρίῳ Μαρτίνῳ τῷ Κρουσίῳ ἐν Κυρίῳ φιλτάτῳ

Τὰ τῆς σῆς ἀγχινοίας γράμματα δεξάμενος, ἐλλογιμώτατε καὶ σοφώτατε κύριε Μαρτῖνε Κρούσιε Γερμανέ, κατ' ἄμφω τὰ γλῶττα διδάσκαλε, φωστὴρ ἐν Τυβίγγῃ διαπρύσιε τοῖς αὐτόθι νέοις φιλέλλησι, καὶ τὰ Ἑλλήνων καὶ Λατίνων μετιοῦσι καὶ διδασκομένοις σοι, ἐθαύμασά σου οὐ τόσον τὸν τῆς φράσεως χαρακτῆρα, σπουδαῖον ὄντα καὶ ἀττικισμοῦ γέμοντα, ὅσον ὑπερηγάσθην τὴν προσφιλῆ σου πρός με διάθεσιν ὅτι ἀγνῶτα με ὄντα καὶ πόρρω που εὑρισκόμενον, ἐκαλέσω καὶ τὴν ἐμὴν φιλίαν ἠσπάσω. Πόλεις τε ἀπορθήτους, εἰ εἰσέτι ἵστανται, καὶ λεξικὸν νέας κοινῆς ἁπλῆς φωνῆς Γραικῶν ἡμῶν ἐρωτᾷς καὶ ἀπόκρισιν τούτων ἕνεκα ἀξιοῖς, ὡς ἀνὴρ σοφός. Ἔργον γὰρ τοιούτου σπουδαίου, οὐδὲ τῶν μικρῶν καταφρονεῖν, ἀλλὰ καὶ

τοιαῦτα ζητεῖν καὶ ὁσημέραι διερευνᾶν, εἰ καὶ τὴν γνῶσιν ἔχει ὑπερβάλλουσαν. Δι' ἥν, ὄντων μοι πολλῶν καὶ μεγάλων, ἐξ ὧν ἔπεισι τὴν σὴν θαυμαζω ἀρετήν, ἐν τούτῳ μάλιστά σε θαυμάζω, ὅτι καινῶν πραγμάτων ἐρᾷς ὡς οὐδεὶς ἄλλος, ὥστε καὶ τοῖς πάλαι τῶν Ἀθηναίων σοφοῖς ἐφάμιλλον ἄν εἴποιμί σε μετὰ πάσης τῆς προσηκούσης οἰκειότητος εἰς οὐδὲν ἕτερον εὐκαιροῦντα ἢ λέγειν τι σοφὸν καὶ ἀκούειν καινότερον. Ἐνθέντοι καὶ ὁ αἰδεσιμώτατος κύριος Γερλάχιος ἐντυγχάνων μοι καὶ πολλάς σου καθομολογῶν ἐσαεὶ τὰς χάριτας, τοιοῦτόν τέ μοι σὲ ὑπογράφων λόγοις οἷος εἰ τὴν ἀρετὴν ἔργοις καὶ τὴν σοφίαν, ἀνέπεισέ με διαφημίζειν σε καὶ θαυμάσιον τοῖς ἐνταῦθα λογίοις ἀνακηρύττειν, εἰ καὶ τῶν ἡμετέρων οὐ δέη· μενοῦν γε καὶ πολλοῖς μὲν ἄλλοις τὰ σὰ διηγησάμην, τά τε σοφά σου γράμματα ἔδειξα, οὐχ ἥκιστα δὲ καὶ πρὸς τὸν ἐμὸν δεσπότην, τὸν ἁγιώτατον Πατριάρχην Κωνσταντινουπόλεως (ἐξυπηρετῶν αὐτῷ, τῇ γραφείσῃ ἀποκρίσει καὶ πεμφθησομένῃ, χάριν τῶν κεφαλαίων τῶν πεμφθέντων ὑμῖν) τὴν σὴν καλοκαγαθίαν καὶ σοφίαν διετράνωσα, ἔναυλον ἔχων ψυχῇ τὰς ἀρετάς, ἃς θεοί σοι (εἰπεῖν) ἐδωρήσαντο. Ἀγαθοῖς γὰρ τὰ ἀγαθὰ παρέχουσι καὶ ταινιῶσιν αὐτοὺς ὑπὲρ τὸν Δημοσθένειον χρυσοῦν στέφανον, ὃν ἀρετῆς ἕνεκα καὶ εὐνοίας ἀνέθηκαν Ἀθηναῖοι. Ἀλλὰ περὶ μὲν τούτων ἅλις. Οὐ γὰρ ἐπιστολῆς τοιούτων ἅπτεσθαι ἐγκωμίων μικρῷ τε λόγῳ τὰ μεγάλα ἐκφράζειν καὶ τὴν σὴν ἀρετὴν ἐφαπλοῦν.

Μὴ ἀγνοείτω οὖν σου ἡ φιλία (ἣν καὶ αὐτὸς ἀσπαζόμενος θεμέλιον κατατίθημι: ὃ ὁ πᾶς αἰὼν οὐκ ἐξαλείψειεν) ὅτι ὃ ἠρώτησάς με περὶ τῶν ἐπισήμων, ἀπορθήτων καὶ ἔτι διαμενουσῶν πόλεων, γράψας ἔκθεσιν τῶν Μητροπολιτῶν (χαριζόμενός σοι) ἄλλα τέ τινα μερικῶς, ἃ ἤκουσα παρὰ τοῦ μακαριωτάτου Πατριάρχου Ἀλεξανδρείας, ἐντυχόντος ἐνταῦθα πέρυσι, τῷ λογίῳ κυρίῳ Γερλαχίῳ δώδεκα πέμψαι σοι, δηλουμένων ἐν αὐτῇ καὶ τῶν ἐπισήμων πόλεων, γράμμασιν ἡμετέροις τὴν ἔκθεσιν σχεδιασθεῖσαν, ὡς ἔτυχεν. Πενίᾳ γὰρ συνοικοῦμεν, κωλυούσῃ ἐν πολλοῖς τὰ καλά, ἧς οὐδαμοῦ οὐδὲν πέφυκε, κατὰ τὸν Κωμικόν, ζῷον ἐξωλέστερον, ἥτις ἐμποδὼν γίνεται καὶ τῷ συγγράφειν, ὡς δεῖ, παρενοχλεῖ· τήν τε βραδυτῆτα τῶν ἀποκρίσεων κατειργάσατο καταγινομένων, ἡμῶν ἀκόντων, ἀνάγκῃ καὶ βίᾳ τῆς δεσποίνης, πρὸς τὰς τῆς ζωῆς ἀφορμάς, σπουδὴν δὲ ἐν ὀνείρῳ μόλις ὁρώντων. Ὅθεν οὐδὲν θαυμαστὸν εἰ καὶ τὰ παρόντα ἡμῶν γράμματα ὅσης τῆς ἀμαθείας ἀπόζει. Μόνη δὲ ἡ τὰ πάντα νικῶσα φιλία καὶ ἐκτυφλοῦσα, εἰπεῖν, ἠνάγκασεν, ἀγάπῃ καὶ πόθῳ διακαεῖ,

γράψαι πρὸς ὑμᾶς τοὺς ἤδη Ἀθηναίους τῇ σοφίᾳ, τῇ σπουδῇ, ταῖς ἀκαδημείαις, ἃς ἀκούων ποθῶ ἰδεῖν, ὡς διαδεξαμένας τὴν παλαιάν ποτε τῶν Ἑλλήνων εὐδαιμονίαν.

Αἱ γὰρ Ἀθῆναι, ἃς πολλάκις εἶδον (Ναύπλοιος (sic) γάρ εἰμι, Πελοποννήσιος; ἢ πλησίον Ἀθηνῶν κεῖται) αὐτάς τε διῆλθον, ἀκριβῶς φιλοπραγμονήσας πάντα, τόν τε Ἄρειον Πάγον, τὰς ποτὲ Ἀκαδημίας τοῦ Ἀριστοτέλους, τὸ Πάνθεον, οἰκοδομὴν νικῶσαν πάσας οἰκοδομάς γλυπτῶς ἐκτὸς διὰ πάσης τῆς οἰκοδομῆς ἔχουσαν τὰς ἱστορίας τῶν Ἑλλήνων, καὶ ταῦτα τὰς θείας καὶ μετὰ τῶν ἄλλων, ἐπάνω τῆς μεγάλης πύλης ἵππους δύο φρυασσομένους ἀνδρομέαν εἰς σάρκα, τὸ δοκεῖν ἐμψύχους, οὓς λέγεται ὅτι ἐλάξευσε Πραξιτέλης καὶ ἔστιν ἰδεῖν διικνουμένην καὶ λίθων τὴν ἀρετήν· θεάσασθαί τε καὶ ἄλλα θαύματος ἄξια. Οὐ λέγω τὸν βουνὸν τὸν καταντικρὺ βοτάνην πᾶσαν (εἰπεῖν ἰατρείας ἁπάσης πρόξενον) ἐμπεριέχοντα, ὃν κῆπον Ἀδώνιδος ὀνομάζω, ἢ ἀέρων εὔπνοιαν, ἢ ὑδάτων πότιμον, ἢ ἀγαθῶν ἄλλων. Ἐξ ὧν συμβαίνει τοὺς νῦν Ἀθηναίους, ἤδη βαρβαρωθέντας, φύσει μνήμονας καὶ εὐφώνους εἶναι, μέλεσι διαφόροις θέλγείν, ὡς Σειρήνων μέλη, τοὺς ἀκούοντας. Οὓς εἴγε Ὀρφεὺς (ὅς θῆρας καὶ λίθους ἐλέγετο θέλγειν) ἢ Μεθυμναῖος Τέρπανδρος ἢ Μαρσύας (ὃς ἀντήρισεν Ἀπόλλωνι) ἤκουσε, φύσει τὴν τέχνην νικῶντας, ἐξεπλάγησαν καὶ τοὺς αὐλοὺς ἔρριψαν ἂν καὶ καλάμους συνέτριψαν. Ἀλλὰ τί τῶν Ἀθηνῶν μνησθεὶς μακρολογῶ, δέρμα ληφθείσας τοῦ πάλαι ποτὲ ζῴου; Αἱ ἀληθεῖς Ἀθῆναι αὐτοῦ νῦν εἰσιν, ὡς ἀκούομεν. Ὡς καὶ ὁ Ἑλικών, τὸ τῆς Βοιωτίας ὄρος, ὃ ἀνῆλθον κορυφῆς ἄχρι, εἰσελθὼν δὲ τὰ νάπη ἐκεῖνα πραγματικῶς καὶ αἰσθητῶς, τὰ ἐκεῖ εὔλειμα τῆς τε Παρνασίας δάφνης γευσάμενος καὶ τὰς Μούσας ἐν Πιερίᾳ ζητήσας, ἢ Πηγασίαν κρήνην, ἢ τῶν ᾀδομένων τι ὡς εὗρον οὐδέν, ἔγνων ὁ μάταιος ἐγὼ πῶς ταῦτα μὲν ἦν ὅτε ἦσαν τόποι καὶ διατριβαὶ σοφῶν, ἀπέστησαν δὲ τὰ καλά, ὡς δ' ὁρῶ πρὸς τοὺς σοφοὺς Γερμανοὺς ὑμᾶς μετῴκησαν καὶ νῦν οἰκήτορες ὑμεῖς αὐτῶν οἱ τὴν σοφίαν μετιόντες καὶ ἔργον ἔχοντες, οὐ πάρεργον, ὡς ἡμεῖς τῇ ἀκόνῃ θηγόμενοι διὰ παντὸς τῶν λόγων καὶ ταῖς ἐπιστήμαις λαμπρυνόμενοι καὶ εἰς τὸν ἀληθῆ Ἑλικῶνα ἀόκνως καὶ ἀπονητὶ καὶ τοῦτον οἰκοῦντες ἐπ' εὐτυχίᾳ, ἡμᾶς ἐξώσατε τῶν λόγων. Ἐξ ὧν εἰ μὴ καθημέραν ἡμεῖς ἀρδοίμεθα, λείπεται τὸ σιγᾶν. Σοφίαν γὰρ ἢ μαθήματα, δοῦλοι ὄντες νῦν, οὐκ ἔχομεν. Εἶεν.

Περὶ βιβλίων ἁπλῶν τῆς δημώδους φωνῆς ἢ λεξικοῦ ἴσθι: οὐδὲν τοιοῦτόν τι πεπόνηται, οὔτε τὰ τῶν Διαθηκῶν ἰσαφηνίσθη. Πόλιν

γὰρ (εἰπεῖν) οἰκοῦμεν, ἣν Πλάτων ὁ θεῖας ἔκτισε. Καὶ ὅτι οὔτε ὁ μισθός ἐστιν οὐδεὶς τούτων ἕνεκα, οὔθ' ὁ κοπιάσων. Ἂν δέ τις τῶν αὐτόθι πλουσίων καὶ βοηθεῖν ἡμῖν ἐθελόντων τοιαῦτα βούλεται, πεμψάτω τὸν μισθὸν καὶ ἔργον ποιήσομεν. Καὶ δι' ἔτους ἑνὸς (συνυπουργούντων μοι καὶ ἄλλων σπουδαίων τῶν ἐνταῦθα μισθῷ) τελειώσω καὶ ἡμῖν πέμψω (μεθ' ὅσης τῆς προθυμίας;) κοινωφελῆ ἐσόμενα. Εἰ δὲ καὶ σιτηρέσιον σχῶ παρά τινος περιβλέπτως κρατοῦντος ἐν ὑμῖν, οὐ μόνον ταῦτα ἐκπληρώσω καὶ πᾶν, ὃ προστάσσηται, συμβοηθοῦντός μοι καὶ τοῦ κυρίου μου πατρός, Ἰωάννου Ζυγομαλᾶ τοῦ ῥήτορος, τοῦ τὴν ἑλληνικὴν καὶ λατινικὴν παιδείαν εἰδότος (ἣν ἡ πενία μὲ διεκώλυσε σπουδάσαι, εἰ δὲ βοηθείας τύχοιμι, νέος ὤν, ἤδη τριακοντούτης, καὶ ταύτην σπουδάσω, Γερμανοῖς τε τὴν χάριν ἀναγράψω καὶ ἔσται χάρις χαρίτων, ὡς βοηθήσουσιν Ἕλλησιν, ἤδη βαρβαρωθεῖσι ταῖς καιρικαῖς ἀνωμαλίαις), ἀλλὰ μετὰ τοῦ ἁπλοῦ λεξικοῦ καὶ τῆς σαφηνείας Παλαιᾶς καὶ Νέας Διαθήκης, καὶ ἄλλων, γνωρίσω ὑμῖν, πέμψας ἱστορικὸν νέον, ἀκριβῆ τῶν γινομένων καὶ σαφῆ καὶ σύντομον, ὡς δυνατόν, διηγούμενον τὴν διάβασιν, ὃ δὴ συγγράφεται ἡμῖν, οὐδενὶ δὲ ἐκδέδοται, οὔτ' ἐκδοθήσεται, ἐὰν μὴ τῆς ἀξίας τύχοιμεν τῶν κόπων ἡμῶν ἀμοιβῆς· πρὸς δὲ καὶ βιβλία παλαιὰ καὶ ὀρθὰ προξενήσω, τετυπωμένα καὶ μή, ἄξια ἐσόμενα τοῦ παντός. Ὃ δὲ φημί σοι, τῷ φιλτάτῳ κυρίῳ μου, κατὰ τὸν ποιητὴν εἰπεῖν οὐ παλινάγρετον, οὐδ' ἀπατηλόν, οὐδ' ἀτελεύτητον· ἂν δὲ καὶ ἄκραν διάπειραν, τίς εἰμι καὶ τὸν τρόπον ποῖος μαθεῖν βουληθείης, ἐρώτησον τοὺς εἰδότας ἡμᾶς τῶν Γερμανῶν, τόν τε περίβλεπτον καὶ σοφώτατον κύριον Ἀουγγέριον, τὸν Πὸς Μπέκ, πρέσβυν χρηματίσαντα ἐνδοξότατα καὶ ἐλευθερώτατα, πρὸ τοῦ ἐνταῦθα κοιμηθέντος μακαρίτου Ἀλπέρτου ἃ Βίς. Ἢ ἐρώτησον τὸν ἐκλαμπρότατον καὶ τὰ πάντα καλὸν καὶ σοφώτατον κύριον κύριόν μου Κάρλον Ῥίμ, τὸν ἤδη πρεσβεύσαντα. Ἢ τὸν τούτου ντοτόρον καὶ ἰατρόν, Ἀρλόνδον Μάνλιον Γανδαῖον. Ἢ κύριον Μιχαῆλόν τινα Στρονουβίκιον· ἢ ἄλλ υς τῶν ἐλθόντων ἐνταῦθα καὶ ὁμιλησάντων ἡμῖν, δόντας διάπειραν καὶ λαβόντας ἡμῶν. Οὓς δὴ ὡς κυρίους σεβασμιωτάτους ἀσπάζομαι. Οἷς δὴ καὶ πολλὰ βιβλία προεξένησα καὶ κέρματα παλαιῶν καὶ πᾶν ἄλλο χρειῶδες, ὃ ᾔτησαν. Εἰ δ' ἔζη καὶ ὁ μακάριος Γουλιέλμος, ἐνταῦθα λοιμῷ τελευτήσας, ὢν ντοτόρος τοῦ περιφανεστάτου πρέσβεώς ποτε κυρίου Ἀουγγερίου, ἐκεῖνος, ἐκεῖνος ἐμαρτύρησεν ἂν ἡμᾶς· ἀνὴρ γὰρ ἦν τῶν σοφῶν, τῶν θείων, φιλέλλην, ἀρετῶν ἁπασῶν ταμεῖον, ὃν Χάριτες ἔστεψαν, Θεὸς δὲ προσήκατο, οὗ τὸ μνῆμα,

πέραν Γαλάτου κείμενον, δακρύων πρόξενον λογίοις γίνεται. Ἔχεις, ὡς οἶμαι, καὶ τοῦ δευτέρου ἀπόκρισιν.

Εἰ δὲ θαυμάζεις, πῶς μετ' ἐνιαυτὸν ἤδη ἀντεπιστέλλομεν· πρῶτον μὲν σύγγνωθι· ὅτι, ὡς εἶπον, ἄλλοις προσέχομεν ἐξ ὧν τὸ ζῆν ποριζόμεθα. Εἶτα καὶ εἰς δυοκαίδεκα τεμὼν τὸ ἤδη μακρύγορον, μηνιαίαν ἔλαβες ἀπόκρισιν, νόμιζε· ἂν δὲ γελοῖον, ὡς σπουδαῖον κριθείη (φιλίᾳ, τῇ τὰ πάντα τολμώσῃ καὶ νικώσῃ, ὡς εἴρηται) δὲ καὶ οὕτως εὑρεθείημεν λακωνίζοντες, οἱ ἀντὶ χρυσῶν χάλκεια, ἀντὶ δὲ ἑκατομβοίων ἐννεάβοια (ὡς ὁ σὸς ἔφη ποιητὴς) πέμποντες. Εἰ οὖν ἡ ἀξίωσίς σου ποιήσει τινὰ τῶν δυναμένων προθέλυμνον ἐκτῖλαι τὴν πενίαν ἡμῶν, ἡμεῖς ἕτοιμοι, τὸ ἀπὸ τοῦδε πρόθυμοι, ἔργοις ἐγρηγορότες καὶ προσέχοντες εὐθέως, ταχέως φανείημεν.

Γίγνωσκε δὲ κατὰ ἀκρίβειαν ὧν εἵνεκα ἠξιώσατε ὅτι ὁ ἁγιώτατος πατριάρχης ἔκτοτε σπουδάζει καὶ μελετᾷ, ὅτι ἀδείας τύχῃ (ἔχει γὰρ πράγματα πολλὰ) τὸ βιβλιάριον ὑμῶν τὸ πεμφθέν, τὸ τὰ κεφάλαια περιέχον τῆς πίστεως, καὶ ἃς λέγετε καταχρήσεις. Ὅτε δὲ ἠβούλετο, μετεκαλεῖτό με, τὸν ἐμὸν κύριον πατέρα καί τινα σοφὸν Χῖον, ὄντα παρ' ἡμῖν, καί τινας ἐγκρίτους τῆς συνόδου ἐφάπαξ, καὶ συμβουλευόμενος τὰ δόξαντα αὐτῷ, ἀπόκρισις ἐν ἑκάστῳ κεφαλαίῳ συνεγράφετο παρ' ἐμοῦ, καὶ σὺν Θεῷ, πέρας ἔσχεν ἡ πᾶσα πραγματεία τῶν συμφωνούντων καὶ μή, σαφηνισθέντων ὡς δεῖ· ἣ δὴ καὶ ἐλεύσεταί ποτε, ἐν χερσί σου, τοῦ φιλτάτου, καὶ τοῦ ἐνδοξοτάτου κυρίου Ἰακώβου, τοῦ περιφανοῦς πραιποσίτου, διδασκάλου τε, τοῦ καὶ χρησιμωτάτου καγκελλαρίου. Ὃν καὶ ἀσπάζομαι, καὶ προσαγορεύω, ὡς ἥδιστα, ᾧ δεῖξον, εἰ βούλει, καὶ τὰ παρόντα γράμματα.

Ἴσθι δὲ μετὰ τῶν ἄλλων καὶ τοῦτο, ὅτι ἐγώ, ὁ τῆς σῆς φιλίας διάπυρος ἐραστής, ἀόκνως καὶ μεθ' ὅσης σπουδαίας γνώμης, μετακαλούμενος παρὰ τοῦ Πατριάρχου, ὑπούργησα καὶ ἐκοπίασα σχεδιάσας δεύτερον καὶ τρίτον ἤδη, εἰς φῶς ἐξέλκων τὴν τῶν ζητουμένων ὑμῖν ἀπόκρισιν, γενησομένην τὸ μῆκος ὑπὲρ τοῦ βιβλαρίου ὑμῶν· Τοῦτο δὲ ἐποίησα δυοῖν ἕνεκα, τῇ τε τοῦ δεσπότου μου ἀντερίζειν οὐκ ἔχων κελεύσει, τοῦτο δὲ μακάριον ἐμαυτὸν κρίνας, τοιούτοις μακαρίοις καὶ σοφοῖς ζητήμασι ὑπηρετήσας· ἄλλως τε καὶ ὅτι ἀκούω σοφωτάτους εἶναι ὑμᾶς, ὧν ἡ σοφία, αἱ ἐπιστῆμαι, αἱ τέχναι καὶ τὰ λοιπά ὡς ἄλλος ἥλιος, τὸ περίγειον δᾳδουχεῖ. Οὐ μόνον δὲ ἐν τούτῳ, ἀλλὰ καὶ πολλοῖς ἄλλοις ὑπὲρ πολλοὺς ἔσομαι προθυμότερος διάκονος, εἴ γε ἡ πενία ἡμῶν εἰς βάραθρον ἐμβάλλοιτο. Ὃ πάντως ποιήσει ἡ τῶν φιλτάτων ὑμῶν μεσιτεία καὶ ἀξίωσις πρὸς

τοὺς κρατοῦντας, δεικνυόντων αὐτοῖς, εἰ δόξει, καὶ τὰ γράμματα ἡμῶν, καὶ μᾶλλον τὸ πρὸς τοὺς νέους, ὃ παραινετικῶς καὶ προτρεπτικῶς ἐγράψαμεν, διὰ τὸ εἰπεῖν σε, ἐν τῇ πρὸς ἐμέ σου ἐπιστολῇ, εἰ δι' οὐδὲν ἄλλο, ὠφελείας γε μὴν τῶν σπουδαζόντων παρ' ἐμοὶ ἕνεκα. Οὕτω καὶ γὰρ καὶ τοῦ ἐμοῦ κυρίου πατρός, ἐπὶ τῆς πατριαρχείας τοῦ μακαρίτου πατριάρχου Κωνσταντινουπόλεως Ἰωάσαφ, φροντιστήριον ἔχοντος, Ἑρμόδωρός τις Λῄσταρχος ἔγραψε τοῖς νέοις τοῖς τότε σπουδάζουσι προτρεπτικῶς, καὶ καλὸν ἐκρίθη καὶ συμφέρον, γράφει δὴ καὶ ὁ ἐμὸς πατὴρ ὁμοίως περὶ βοηθείας, ἣν κοινὴν ἕξομεν. Καὶ τότε δὴ τὸ περίπυστον ὑμῶν κλέος ὃ οὐρανὸν ἱκάνει, κατὰ τὸ σοφόν, καὶ ἐν γλώττῃ μικρᾷ ἡμῶν κηρυχθήσεται.

Ἐδεξάμην εὐνοϊκῶς τὸ βιβλάριον· καὶ τοῖς παρ' ἡμῖν παιδευομένοις καὶ σπουδάζουσι νέοις ἐκοινώνησα καὶ θαυμάζουσιν ὁσημέραι τὴν σοφίαν ὑμῶν, ὅσον δ' ὑμᾶς μακαρίζουσι, τόσον αὐτοὺς ταλανίζουσιν ὅτι ἐν χρείᾳ καὶ δουλείᾳ ὄντες, τὰ ἐλευθέροις ἀνήκοντα μαθήματα σπουδάζειν ὡς δεῖ κωλύονται. Ἐθεασάμεθα καὶ τὸν ἐπιτάφιον, λείψανον ὄντα σοφίας καὶ παλαιᾶς Ἑλλήνων εὐδαιμονίας, ἢ (μᾶλλον εἰπεῖν) βλαστὸν χρυσοῦν, μακαρίζοντες τὸν συγγράψαντα. Ὅθεν καὶ τοῖς σπουδαζομένοις σοι εὐγενέσιν ἐγράψαμεν ὡς ἐγράψαμεν. Ἓν μέν, δι' ὃ φθάσας εἶπον, ἕτερον δὲ ὅτι ἠγάπησα συνομιλῆσαι ἐχέφροσι καὶ δυνάμει σοφοῖς, ὑπ' ἀρίστῳ τρεφομένοις παιδαγωγῷ καὶ τοιούτῳ καθηγητῇ, οὗ ἡ συνομιλία μεγάλως τὸ συναμφότερον, ψυχὴν καὶ σῶμα, ὠφελεῖ.

Καί με οὕτω κείμενον διήγειρας καὶ πρὸς τὸ γράφειν ἠνάγκασας, καὶ ὁ τούτων σπόρος εἰς ἑκατὸν ἀνεβλάστησεν. Εἰ οὖν καὶ ἄλλου τινὸς χρῄζεις καταθυμίου σοι, ὧν ἡμεῖς δυνατοὶ ἐκπληρῶσαι, καὶ οἱ ἐνταῦθα ἔχουσι τόποι (εἴγε μόνον δηλῶσαι ἡμῖν μὴ ἀπαξιώσειας) ἐκτελέσωμεν πᾶν (εἰπεῖν) ὃ νεύματι μόνον κελεύσειας, καὶ δι' ἐφέσεώς ἐστιν, ἢ αὐτῷ ἤ τινι τῶν σῶν φίλων ἢ φοιτητῶν, οὓς ἀσπάζομεν ἐν κυρίῳ ὡς συνέλληνας. Αὐτῶν γὰρ τὴν εὐτυχίαν ἤδη, ὡς εἰπεῖν, φθονῶ. Ἡμεῖς γὰρ ὀνόματι Ἕλληνες, αὐτοὶ δὲ σοφίᾳ καὶ ἔργοις ἀρίστοις καὶ λαμπροῖς.

Καὶ ταῦτα μὲν ἐς τοσοῦτον, οὐδὲν ἡμᾶς τῆς μακρηγορίας καταμεμφόμενος. Οὐ γὰρ ἐπιστολὴν ἤδη ἀλλὰ συνομιλίαν ἐσημειωσάμεθα, χρειώδη σκοπὸν ἀποτελέσαντες.

Ἔτι καὶ τοῦτο, εἰ βουλητόν σου, σπουδαιοτητῶς ποίησον. Πέμψον μοι πίνακα τῶν βιβλίων πάντων, τετυπωμένων καὶ μή, τῇ καταγραφῇ ὀνομαστὶ καὶ ὀνοματοκλήδην, εἰπεῖν. Εἰ γὰρ τῶν ἤδη τυ-

ποθέντων ἀποστείλῃς ἡμῖν τὸν κατάλογον ὡσαύτως καὶ τῶν παρ' ὑμῖν ζητουμένων, παρὰ δ' ἡμῖν (εἰρήσθω σὺν Θεῷ) τυγχανόντων (εἰ καὶ ἐν διαφόροις τῶν πόλεων διέσπαρται) ῥᾳδίαν οὕτω ποιησόμεθα τὴν τούτων εὕρεσιν, εἴ γε καὶ δαπάνης οὐ φειδομένης ἐπιτευξοίμεθα. Δεῖ γὰρ δεῖ χρημάτω, μάλιστα μὲν ἐπὶ πᾶσιν, οὐχ ἥκιστα δὲ ἐν τοιούτοις δυσεντεύκτοις πράγμασι καὶ σποράδην ἀνὰ διαφόρους τῶν ἐνταῦθα πόλεων κειμένοις. Ὧν ὑμεῖς ἂν εἴητε ἄξιοι τυχεῖν, οἷα πολλοῖς ἄλλοις ἀγαθῶν προτερήμασιν ἐγκοσμούμενοι. Καί, εἰ οὕτω γένοιτο, πᾶν εὑρεθήσεται ζητούμενον βιβλίον καὶ εἰς φῶς ἔλθοι. Καί, εἰ μακαριστοὶ οἱ αἰχμαλώτους ῥυόμενοι, ἀξιομακαριστότεροι ὑμεῖς, οἱ σοφῶν βιβλία, ταῖς καιρικαῖς κακίαις αἰχμαλωτισθέντα καὶ φυλακαῖς κείμενα ἐλευθεροῦντες καὶ ἀναζωογονοῦντες καὶ πολλοὺς ὠφελοῦντες κοινῇ καὶ ἰδίᾳ.

Ἐρρωμένως μοι διαβιῴοις, ἀνδρῶν βέλτιστε, εἰς εὐφροσύνην μὲν τῶν ποθούντων σου ἀκούειν τὰ σπουδαῖα ἔργα, τῇ τε σῇ φήμῃ τὰ ὀστᾶ πιαινομένων, εἰς χαρὰν δ' ἀνεκλάλητον τῶν ἐγγὺς ἐφορώντων τὴν θείαν σου θέαν, ἣν ἀξιωθείημεν, Χριστὲ βασιλεῦ, καὶ ἰδεῖν, καὶ τὰ φιλικὰ λόγοις πλατύτερον ἐξαγγεῖλαι. Οὐ γὰρ δυνατὸν γραφῇ τὰ τῆς ψυχῆς νοήματα πάντα ἐμφανίσαι, οὐ μόνον δειλίᾳ, ἀλλ' ὅτι καὶ πᾶσα φωνὴ ἐλάττων ἐστὶ τῆς διανοίας τοῦ λέγοντος, διότι ὁ λόγος, ὡς αὐτὸς οἶδας πάντων ἄριστα, ἀσθενέστερόν πως πέφυκε διακονεῖσθαι τοῖς νοουμένοις. Ἀσθενὴς ἡ διάνοια ἡμῶν, ὡς ἀμαθῶν, ἀσθενεστέρα δὲ ἡ γλῶσσα. Ὅθεν καὶ τὸ ἀκαλλὲς καὶ ἄμορφον τῶν παρόντων μαρτύρεται καὶ ἔξεστιν ἐκ τῶν γεγραμμένων ἰδεῖν.

Πεμφθείησάν μοι λοιπὸν καὶ αὖθις σὰ γράμματα. Ἃ εἰ καὶ ὀλίγα, ἀλλὰ πολλὴν διάνοιαν ἔχουσι, λακωνικῶς τεχνουργημένα ὑπὲρ τὴν σοφίαν Βρούτου, καὶ τὴν ἁρμονίαν Βεσελεὴλ ὡς καὶ ἀφορμὴν τῶν παρόντων λόγων ποιήσαντα. Εἰ δὲ τῆς βραδυτῆτος καὶ ἄλλας αἰτίας γράφοιμι δι' ὧν μέχρι τοῦ παρόντος ἡ ἀπόκρισις οὐκ ἐγένετο, καὶ πάνυ μου ὡρμημένου προθυμοτάτου, ἱστορίας μῆκος ἐκπληρώσαιμι. Ὅθεν σύγγνωθι, καὶ φιλοῦντας φίλει, ἔργοις ἐνδεικνύων καὶ ἐκπληρῶν τὰ τῆς ἀγάπης καλά. Καὶ πάλιν ἔρρωσο.

Ἀπὸ Κωνσταντινουπόλεως, ἀνθεστηριῶνος ιε´, ζπδ´ ἀπὸ τῆς κτίσεως τοῦ παντός. Εἰ δὲ αὐτοσχεδίως γράφομεν, καί τι ἡμάρτηται, ὡς ἀνθρώπινον, καὶ ταῦτα τῶν ἀμαθῶν ὄντων ἡμῶν, καὶ ὅτι ἀπαιτοῦντες ἦσαν καὶ κατεπείγοντες οἱ γραμματοκομισταί, τὰ παρόντα, κἂν τούτων συγγνωμονοίης μοι.

Πέμπεται καὶ τῷ ἁγιωτάτῳ Πατριάρχῃ οἰκειοχείρως ἐπιστολὴ καὶ

ἀπόκρισις, ὡς ἠξιώσατε ὑπογεγραμμένη καὶ ἐσφραγισμένη, ὡς ἡ συνήθεια ἔχει αὐτοῦ ἀληθέστατα.

Κατὰ πάντα ὑμέτερος φίλος
ΘΕΟΔΟΣΙΟΣ ΖΥΓΟΜΑΛΑΣ
πρωτονοτάριος τῆς Μεγάλης Ἐκκλησίας Κωνσταντινουπόλεως

ΑΠΑΝΤΗΣΙΣ ΚΡΟΥΣΙΟΥ ΠΡΟΣ ΖΥΓΟΜΑΛΑΝ

Τῷ σοφωτάτῳ ἀνδρὶ κυρίῳ Θεοδοσίῳ τῷ Ζυγομαλᾷ, πρωτονοταρίῳ τῆς ἐν τῇ Κωνσταντίνου Μεγάλης τοῦ Πατριαρχείου Ἐκκλησίας, ἐν Κυρίῳ φιλτάτῳ, ἐν Χριστῷ χαίρειν.

Ἐκομισάμην τῇ ιη' Ἰανουαρίου τοῦ ἔγγιστα μετὰ τῶν ἄλλων ἐλληνικῶν γραμμάτων καὶ τὴν τῆς λογιότητός σου, φίλτατε κύριε Θεοδόσιε, ἐπιστολήν. Ἦν μὲν ἐγώ, ὅτε ἀνεγίνωσκον αὐτὰ ἐν φόβῳ, τῶν τέκνων μου τοῦ μικροτάτου ἐπικινδύνως νοσοῦντος. Ἀνεγνωσμένων δέ μοι τῶν εὐκτοτάτων ὑμῶν γραμμάτων, ὁ φιλάνθρωπος Θεὸς δισσῇ με ἀνέλαβε χαρᾷ. Μιᾷ μὲν τῇ ἀναγνώσει τῶν γλυκυτάτων ἐπιστολῶν, ἑτέρᾳ δὲ τῇ μετ' ὀλίγον σωτηρίας ἐλπίδι τοῦ παιδίου. Ἐρράϊσε δὴ τὸ ἀγαπητὸν θυγάτριον, ἡ καλὴ Πουλχερία, καὶ τέλος τὴν ὑγίειαν ἀπέλαβεν, ἣν ὁ εὐεργέτης μοι καὶ ἀπὸ τοῦδε σῴζειν ἀξιοίη.

Περὶ δὲ τῆς σῆς ἐπιστολῆς τί λέξω ; Πόθεν ἄρξομαι ; Πότερον θαυμάσω τῆς σοφίας ἢ τῆς φιλανθρωπίας ἢ τῆς τοῦ ὑπηρετεῖν προθυμίας ἢ τοῦ ἐνδιαθέτου πανταχοῦ καὶ ἐμπράκτου πνεύματος; πάντα τὰ αὐτῆς πεπαιδευμένα, προσηνῆ, ἀκμάζοντα καὶ ἐνεργοῦντα. Ἀληθῶς Θεόσδοτον φίλον εὑρόμην τὸν τὰ πάντα καλὸν Θεοδόσιον, ᾧ γε πρὸ πάντων καὶ ἡ περὶ τὰ θεῖα μελέτη ἡδεῖα, τοσαύτην ἐν τῇ τῆς πρὸς τὸ βιβλάριον ἡμῶν ἀποκρίσεως συγγραφῇ σπουδὴν καταβεβλημένῳ. Οὐχ' ἅπαξ οὖν ἀναγιγνώσκων ἐκείνην, ἀλλὰ πλεονάκις κατετρύφησα αὐτῆς, καὶ τοῖς φίλοις μου ἐνδόξοις ἀνδράσι (τοῖς τε ὧδε οἰκοῦσι καὶ τοῖς ἄλλοθεν ἐπιδημήσασιν) ἐπεδειξάμην καὶ ἐπιδείκνυμαι, ἀκινδύνως ἀμφοῖν ἡμῖν παρὰ καλοῖς κἀγαθοῖς γε ἀνθρώποις. Ἀλλὰ καὶ τὴν τοῦ παναγιωτάτου Πατριάρχου χεῖρα τῶν Εὐαγγελικῶν μεγιστάνων οἱ ἀκούσαντες ἰδεῖν ποθοῦσι καὶ αὐτὴν τὴν πρόσφατον τῆς ἁγιότητος αὐτοῦ ἐπιστολὴν ὁ Καγκελλάριος ἔχων, ἔναγχος ἐπὶ ἐκκλησιαστικῶν ταραχῶν διορθώσει ἀπεδήμησεν, ὑφ' ἑνὸς τῶν τῆς ῥωμαίας ἀρχῆς ἑπταπρώτων μεταπεμφθείς.

Σὺ δέ, φίλτατε, βραδέως μέν, μεγάλῳ δὲ τόκῳ πρὸς τὴν βραχεῖαν καὶ οἱανοῦν ἐπιστολήν μου ἀπεκρίθης. Ἀλλὰ κἂν εἰς δώδεκα μέρη τὴν ἀπόκρισιν κατατεμών, ὡς γλυκέως παραινεῖς ἑκάστῳ τοῦ ἔτους, ᾧ ἐσίγησας, μηνὶ μέρος ἀπονείμω, οὐδ' ὡς ἀπεπληρώθη ἡ ἐπιθυμία μου. Τοσοῦτον γὰρ ἀφέστηκας τοῦ μακρηγορίᾳ ἔμοιγε λύπην ποιεῖν, ὥστε τοὐναντίον ἐλυπήθην μὴ οὐχὶ καὶ το λοιπὸν τοῦ χάρτου, πολὺ ὄν, καταγραφῆναι. Εἰ γὰρ κἂν τῆς ἰδιωτικῆς τι γλώττης ἐπεγέγραπτο ὁτιοῦν, ἐπληρώθην ἂν ἐγὼ μᾶλλόν τι, ἰδὼν τὴν διάλεκτον, ὁποίᾳ νῦν αὐτόθι χρῆσθε.

Οὐ μὴν ἀλλὰ ὑπερέβαλές μου τὴν προσδοκίαν φιλαδελφίᾳ, οὐ μόνον ἐμὲ οὕτως ἁδρᾶς ἀποκρίσεως ἀξιώσας, ἀλλὰ καὶ τοὺς μαθητὰς ἡμῶν ἐπιστολῇ μακρᾷ καὶ ὡς ὅτι καλλίστῃ ἐπὶ πᾶσαν ἀρετὰν καὶ εὐγνώμονα τῶν θεοσδότων τοῦ μαθεῖν καιρῶν χρῆσιν (τουτέστιν ἐπὶ τὸ γινώσκειν τὸν καιρὸν τῆς ἐκ Θεοῦ πατρικῆς ἐπεσκέψεως ἡμῶν) προτρέπων. Φιλοσοφίας γοῦν, καὶ Χριστιανισμοῦ καὶ ἀποιήτου αὐτοφυοῦς καλλονῆς ῥητορικῆς γέμουσα ἐμπαθῶς. Ἡλικὸν γὰρ (ἵνα τἄλλα σιωπῶ) ἐμὲ παθεῖν ἡγῇ τῇ ψυχῇ, ἀκούοντα τό, ὡς ἀδιατίμητον ἡ ἐλευθερία, ὡς ὅπου βασιλεία, ἐκεῖ καὶ σοφία; Ταύτην δὲ τὴν γενναίαν ἐπιστολὴν τοῖς μαθηταῖς ἐπιδοὺς ἐν πλήθοντι τῷ ἀκροατηρίῳ ἀνέγνωκα, ἑρμηνεύων ἐξ ἐπιδρομῆς καὶ λατινιστί, τοῦ ἀκριβέστερον συνιέναι τὰς ζώσας αὐτῆς προτροπὰς πάντας, καὶ ἑαυτοῖς οἱ βουλόμενοι ἀπογράφουσι, κακεῖθεν ῥητορείας ἀφορμὰς αὐτοῖς καὶ προὐθέμην καὶ προθήσομαι. Ἀπόκρισιν δ' ἐποιήσαντο πρὸς αὐτήν, ἣν πέμπω. Ἀλλὰ καὶ τὰς ἄλλας ἐπιστολὰς λατινικῇ φωνῇ μεθηρμήνευσα, διὰ τοὺς τὴν ἑλληνικὴν μὴ συνιέντας, μέγιστα οὖν ὑπὸ τῆς σου φιλίας τιμηθῆναι, εἰ καὶ ἀνάξιος ἡγοῦμαι, οὗ εὐεργετήματος, οὐκ ἐπιλήσομαι, ἕως ἂν ζήσωμαι. Ἀλλ' αὖθις ἐπὶ τὴν πρὸς ἐμὲ ἐπιστολήν, ἵνα εἰδικῶς πρὸς ἕκαστα αὐτῆς ἀποκρίνωμαι.

Πρῶτον μὲν οὖν, ὅτι τοσούτοις καὶ τηλικούτοις ἐγκωμίοις ἐκόσμησάς με καὶ τοῖς αὐτόθι σοφοῖς καὶ ἐνδόξοις ἀνδράσι συνέστησας, καὶ πρώτιστα τῷ παναγιωτάτῳ, χαίρω μὲν φιληθεὶς ὑπὸ σοῦ, ἀξιεπαινετωτάτου ἀνδρὸς ὄντος, ὡς καὶ ὑπὸ τοῦ τιμιωτάτου σου πατρός, οὗ τοῦ αἰδεσίμου γήρως ὁσάκις μέμνημαι, ἡδέως τοῦ φιλτάτου πενθεροῦ μου Οὐρβάνου τοῦ Οὐετχήρου ἀναμιμνήσκομαι, ὃς πϛ´ που ἐτῶν γεγονώς, ἔτι καὶ σήμερον ἐν Ἐσσελίγγῃ βουλεύει, πόλει αὐτοκρατορικῇ, τρία μίλια γερμανικά, ἤγουν ἓξ ὡρῶν (ὧν νυνὶ ιδ´ μίαν ἡμέραν ἀπαρτίζουσιν) ὁδὸν ἐνθένδε ἀπεχούσῃ, χαίρω μὲν (φημὶ) φιλοφρονηθεὶς ὑφ' ὑμῶν, τοιούτων καὶ τηλικούτων ὄντων, τέως μέν-

τοι γε αὐτορράπιστος, τὸ ταπεινόν μου καὶ ἐνδεὲς ἐπιγινώσκω, καὶ προθύμως ἐξομολογοῦμαι, ὅπου γε καὶ ὁ μέγας Πατριάρχης, ὁ θεόκλητος Ἀβραάμ, ὁ ἰσαρίθμου τοῖς ἄστροις γενεᾶς γονεὺς εὐλογηθείς, ὁ πατὴρ πάντων τῶν πιστευόντων χρηματίσας, γῆ φησι καὶ σποδὸς εἶναι.

Οὔ τοι ἐγὼ τόσος εἰμί, τί κύδεϊ μ' αἴρετε τόσῳ;

Ἀποδέχομαί γε μὴν τῆς πατρικῆς καὶ ἀδελφικῆς ὑμᾶς φιλοστοργίας πάνυ.

Σοὶ δὲ Θεὸς τόσα δοίη, ὅσα φρεσὶ σῇσι μενοινᾷς.

Δεύτερον δέ, ἅπερ περὶ τῶν Ἀθηνῶν ἐδήλωσας, ἄσμενος ἐπέγνωκα· χαίρω γὰρ σφόδρα τὴν πόλιν ταύτην, ἐξ ἧς αἱ τέχναι καὶ αἱ ἐπιστῆμαι πανταχόσε διεσπάρησαν, ἔτι καὶ νῦν σῴζεσθαι, ἣν τῶν παρ' ἡμῖν ἱστορικῶν, τύποις ἐκδεδομένων, οἱ μεμνημένοι αὐτῶν κατασκαφῆναί φασι, μόνον ἁλιευτικῶν τινων καλυβῶν, περιλειπομένων ὃ οὔποτέ μοι πιστὸν ἔδοξε, μάλιστα τοῦ Χαλκονδύλου Λακωνίκου (ὃς πρὸ ρ´ που ἐτῶν ἔζησεν, Ἀθηναῖος ὢν) οὐδὲν τοιοῦτον ἐν τῇ ἑαυτοῦ ἱστορίᾳ λέγοντος. Ἀξιόπιστος δὲ σὺ μάρτυρ ὢν τυγχάνεις, αὐτόπτης τοῦ ἄστεως γενόμενος, διὰ τὸ τῆς σῆς πατρίδος οὐ πολὺ ἀπέχον τῆς ἀρχαίας τοῦ Ἄργους Ναυπλίας, ἣν (ὡς καὶ τὴν Μονεμβασίαν) πρὸ λϛ´ ἐτῶν γενέσθαι ἔτι τῶν Βενετίκων ἀκούομεν. Τότε τοὺς φίλους σου γονέας ἐκεῖ οἰκῆσαι ἔτυχεν, ἢ γάρ; σφόδρα δὲ τέρπομαι, τὰς τῶν φίλων τύχας μανθάνων. Εὐξαίμην δ' ἂν καὶ ἀπεικόνισμα τῶν Ἀθηνῶν οἱονδήποτε (μόνον τῇ σῇ χειρὶ) βλέπειν, Θουκυδίδου εἵνεκα, ὃν τοῖς φοιτηταῖς διασαφῶ.

Τρίτον μεμνημένος σὺ τοῦ Ἑλικῶνος ἐμφιλοχωρῆσαι μὲν αὐτῷ, οὐδὲν δὲ τοῦ παλαιοῦ κλέους ἐνιστορῆσαι, παρὰ δὲ τοῖς Γερμανοῖς νυνὶ τὰ καλὰ εἶναι, ἴσθι ταῦτα, καίπερ ἐκ τοῦ κοινοῦ ἀμφοῖν ἡμῶν φίλου, τοῦ Γερλαχίου, πάντα βέλτιον ἀκηκοώς. Καὶ οὐδαμῶς τοῦ κομπάζειν ἕνεκα λέξω, ἀλλὰ τοῦ δοξάζειν τὸν οὐράνιον εὐεργέτην. Εἰσὶν πάμπολλαι κατὰ τὴν Γερμανίαν σχολαί, εὖ κτισθεῖσαι καὶ διοικούμεναι, αἱ μὲν καθολικαί, αἱ δὲ μερικαί. Τὰς μὲν καθολικὰς ὑψηλὰς κοινότητάς τις ἂν εἴποι, ἡμεῖς δὲ ἀπὸ τῶν κλεινῶν Ἀθηνῶν προσηγορίαν δανεισάμενοι καὶ Ἀκαδημείας ὀνομάζομεν, ἐν αἷς (καθάπερ τὸ πᾶν τοῦτο, πάντα τὰ σώματα ἐμπεριέχει) πᾶσαι ἐπιστῆμαι διδάσκονται, ἥ τε θεολογία καὶ ἡ νομικὴ καὶ ἡ ἰατρικὴ καὶ σὺν τοῖς λογικοῖς ἡ φιλοσοφία, τέσσαρες οὗτοι οἱονεὶ κίονες, ἐν δὲ τοῖς μερικοῖς παιδευτηρίοις (ὧν ἄλλο ἄλλου προέχει) μάλιστα, τὰ ἑκατέρας τῆς γλώσσης καὶ τὰ λογικὰ μετὰ τοῦ ὀρθοδοξαστικοῦ τῆς

εὐσεβείας προπαιδεύεται, ὥστε ἐκ τούτων εὐαφόρμως τὴν νεολαίαν ἐπὶ τὰς ἀκηδημείας μεταβαίνειν. Τῶν δὴ Εὐαγγελικῶν ἢ Λουτηρανῶν καλουμένων ἀκαδημειῶν οὐχὶ ὑστάτη νῦν (Θεῷ χάρις) ἡ Τυβιγγαία ὑπάρχει, καθοτιοῦν ἂν μέρος ἑαυτῆς θεωρηθῇ. Θεολογίας μὲν διδάσκαλοι τέσσαρες, νομικῆς δὲ ἑπτά, ἰατρικῆς δὲ τρεῖς φιλοσοφίας δὲ καὶ τεχνῶν περὶ τοὺς ιϐ', ἐν οἷς καὶ τῆς ἑϐραΐδος φωνῆς ἐστιν εἰσηγητής. Οὓς πάντας, ἵνα μετὰ πάσης ἐπιμελείας τὰ δέοντα ποιῶσι, καὶ νόμοι καὶ νομοφύλακες ἐποτρύνουσι, τοῖς ὀλιγώρως πράττουσιν ἐπιτίμια ἐπιϐάλλοντες. Ταῦτα μὲν τὰ ἐν Τυϐίγγῃ, τὰ νῦν ἔχον, θεῖα δῶρα, ἃ διαφυλάξειεν ἡμῖν ὁ πολυοικτίρμων Θεὸς καὶ πόρρω, μηδὲ διὰ τήν τινων ἀχαριστίαν καθέλοι.

Σὺ δέ, ἀγαπητέ, καὶ περὶ τῶν αὐτόθι ἑλληνικῶν παιδευτηρίων ἡμᾶς δίδαξον. Εἰκὸς γάρ, εἰ μηδαμοῦ ἄλλοθι (ὅπερ ὅμως οὐ πάνυ ἔμοιγε πιθανόν ἐστι, πόθεν ἂν λόγιοι ἄνδρες παρ' ὑμῖν;), ἀλλ' οὖν ἐν τῇ βασιλίδι ὑμῶν πόλει ταῦτα εἶναι, ὧν τὴν κατάστασιν καὶ τοὺς καθηγητὰς καὶ σὺ δηλοῦν, εἰ δὲ οὐκ ἔχει τὰ παρόντα, ὡς ἔδει μετρίως γοῦν, οἴμοι, ὅσον ἐγὼ συναλγῶ τῆς σῆς σοφίας καὶ ἀρετῆς μητρί, τῇ παντοίων ταῖς τε ἄλλαις δυτικαῖς χώραις καὶ δὴ τῇ Γερμανίᾳ ἀγαθῶν μεταδοτείρᾳ γενομένῃ;

Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ δέον διὰ πολλῶν θλίψεων εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, μένουσιν ὅμως εἰσέτι, ὡς ἐν τῇ γῇ αἱ νύμφαι, εἴτουν αἱ φυτὰ ἀναδιδοῦσαι φυσικαὶ δυνάμεις, οὕτως ἐν τοῖς τῶν ἑλλήνων παισὶν αἱ πρὸς σοφίας ἀναϐλάστησιν εὐφυΐαι καὶ δρυμύτητες, καθάπερ περὶ τῶν σήμερον Ἀθηναίων ἡδέως σὺ γράφεις, μνήμονας εἶναι καὶ εὐφώνους θαυμαστῶς. Ἔσται δέ ποτε καιρός, ὅτε προελεύσεται γεωργία καὶ διαμόρφωσις· ἀλλὰ λέγει Σιών, ἐγκατέλιπέ με Κύριος, καὶ ἐπελάθετό μου· ἀλλ' αὐτὸς ἀπαντῶν: μὴ ἐπιλήσεται, φησί, γυνὴ τοῦ παιδίου αὐτῆς, τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνή ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπε Κύριος. Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη καὶ ἐνώπιόν μου εἶ διὰ παντὸς καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ' ὧν καθῃρέθης.

Τέταρτον δέ, ἅπερ περὶ τῆς πρὸς τὸ βιϐλάριον ἀποκρίσεως, καὶ περὶ τῆς σῆς κατ' αὐτὴν σπουδῆς καὶ φιλοπονίας ἐπέστειλας, κεχαρισμενώτατα ἡμῖν ἐστιν. Θεοδόσιος δῆτα σὺ εἶ, θεόθεν ἐπὶ ἁγίων μεταχείρισιν ἔργων δεδομένος, Ζυγομαλᾶς εἶ, ὁμαλῷ καὶ δικαίῳ ζυγῷ τὰ πρακτέα ἱστάς, ὥστε πρῶτον μὲν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ ζητεῖν, εἶτα δὲ εὐγνωμόνως τὴν πρὸς τὸ

κατὰ τρόπον διαζήσεσθαι πρόσθεσιν, ἐξ ἐκείνου ἀναμένειν. Ἄνδρα σὲ βέλτιστον κρίνομεν, καὶ οὐδὲν δέον ἄλλων πυνθανομένους περιέρχεσθαι. Ὥστε καὶ τὴν εἰρημένην ἀπόκρισιν ποθοῦντες προσδεχόμεθα, αὐτήν τε λαβόντες τὰ δέοντα σὺν Θεῷ ποιήσομεν. Κἀγὼ δέ, ὅπως ἔργον γένηταί πῃ, ἅπερ αἰτεῖτε, κατὰ τὴν μικράν μου μερίδα τὸν λίθον κυλίσω. Ὡς δ' αὔτως, καὶ περὶ τῆς τῶν παρ' ὑμῖν ἑλληνίδων βίβλων ἐκζητήσεως σημαινοῦμεν. Τέως τὸν κατάλογον, ὡς αἰτεῖς, ὧν παρ' ἡμῖν βιβλων εἶναι ἐπῆλθέ μοι, πέμπω ὅπως σὺ κατάλογον, εἰ δοκεῖ, τῶν παρ' ὑμῖν παρὰ ταύτας εὑρισκομένων ἀντιπέμπειν δυνήσῃ. Πάνυ εὐπρόσδεκτος ὁ παρὰ τῆς λογιότητός σου ἀσπασμὸς τῷ κυρίῳ καγκελαρίῳ ἐγένετο, καὶ αὐτὸς κάλλιστα πρὸς σὲ διατεθειμένος ἐμοὶ τὰ φιλικὰ ἀντασπάζεσθαί σε προσέταξεν. Ἔργον πάντως ποιησόμεθα, ἐλθόντων τῶν παρ' ὑμῶν τὸ μὴ ὑμᾶς πάντως ἀμοιρεῖν ἔργων.

Πέμπτον, ἐπεὶ οὕτω πρόθυμος φίλος εἶ, κἀμοὶ διὰ τὸ μάλα ὁμαλῶς μοι ζυγῆναι, δικαίως Ζυγομαλᾶς ἐπικεκλημένος ἴσθι, ἀσπαστοτάτην ἐμοὶ ταυτηνὶ τὴν φιλοφροσύνην σου εἶναι, καὶ τὴν φιλίαν ἡμῶν συγκαταταφήσεσθαί μοι. Ὡς ἂν ἡδέως εἰ ἐπὶ φαιδροῖς Θεὸς θελήσειεν, ὁρῴην σε; ὡς ἀσπασίως προσψελλισαίμην γνησίῳ Ἕλληνί σοι; ὡς ἀσμένως κἂν ὀνείρῳ φαντασθείσας ἢ ἐπὶ χαρτίου ἀμωσγέπως εἰκονισθείσας θεωροίην τὰς μορφὰς ὑμῶν; Ἀλλά,

Ἐπειὴ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα, καὶ ἄκριτα βάρβαρα φῦλα, Θεῷ χάρις, ὅτι τὸ πολὺ κρεῖττον ὑμῶν, τὸν σοφίας καὶ προσηνείας εἰλικρινοῦς πλήρη νοῦν θεωρῆσαί μοι ἐξεγένετο. Εἴθε καὶ μετὰ ταῦτα· ὑπὲρ ὑμῶν ὁσημέραι ἐγὼ τῷ Θεῷ ἡμῶν προσεύχομαι. Ἐπεὶ οὖν, οὕτως ἀγαθὸς φίλος σύ γε, σύγγνωθί μου εἰ φιλίστωρ ὤν, μᾶλλον δηλῶ. Τὴν τῶν μητροπόλεων ἔκθεσιν, ἧς μέμνησαι, οὔπω εἶδον. Ὡς θέλοιμι ἂν τὴν τοῦ Χαλκακονδύλου ἱστορίαν, ἄχρις εἰς ἡμᾶς προσεπιπληροῦντα προάγειν σέ; οὐχὶ καί τις ἄλλος, τὴν ἅλωσιν τῆς πόλεως (μάλιστα κατὰ πάσας τὰς περιστάσεις) καὶ κατάλυσιν τῆς ἀνατολικῆς ῥωμαίας ἀρχῆς ἀνέγραψεν; τίς ἦν ἡ τοῦ τελευταίου βασιλέως Κωνσταντίνου σύζυγος, ἡ συναπολ·μένη; τί τὸ ὄνομα αὐτῆς; οὐδαμοῦ μέχρι τοῦ παρόντος εὑρίσκω. Τίς ὁ τότε πατριάρχης καὶ ποῖ ᾤχετο; (καὶ ὁ περὶ ταῦτα οἶκτος ἐμοὶ γλυκύς). Καὶ πῶς ἀπεκατεστάθη αὖθις ἡ πατριαρχεία; ὑμῶν ἔτι τινὲς Παλαιολόγοι καὶ Καντακουζηνοὶ καὶ Νοταραῖ καὶ Λασκάρεις καὶ Χρυσολωραῖ καὶ Ἀργυρόπουλοι καὶ Χαλκονδύλαι; τοῖς γὰρ ὑστέροις τέσσαρσιν ἡμεῖς οἱ Λατῖνοι καὶ

Γερμανοὶ τῆς παρ' ἑαυτοῖς ἑλληνικῆς μαθήσεως τὰς ἀρχὰς ὀφείλομεν. Τίς ὁ σοφὸς Χῖος, ὁ ὑμῖν ἐν τῇ ἀποκρίσει συνεργήσας; τίς ὁ Λῄσταρχος Ἑρμόδωρος, ὁ τὰ ὠφέλιμα τοῖς ὑμετέροις νέοις παραινέσας; Ἀρχὸς Λῃστῶν ἐκεῖνος ἦν; Λῃστὴς μὲν οὖν καὶ ἀναιρέτης κακίας καὶ ἀγνοίας, τοῖς δυοῖν ὀλεθρίοιν κακοῖν, καὶ διὰ τοῦτο δικαίως ἐκείνην τὴν ἐπωνυμίαν ἐσχηκώς. Τὰ ὀνόματα τῶν αὐτόθι πεπαιδευμένων ἀνδρῶν καὶ τῆς Ἑλλάδος καὶ Ἀσίας καὶ τῶν Πατριαρχῶν καὶ Μητροπολιτῶν καὶ Ἐπισκόπων καὶ ἐπισήμων ἄλλων ἡδὺ ἄν μοι εἰδέναι εἴη. Ἀντεπιστείλαις, ὦ φίλη κεφαλή, καὶ τῶν ἐν τῇ νῦν τεσσαρακοστῇ δημηγορηθεισῶν ὁμιλιῶν πέμπειν ἀξιώσειας.

Ἕκτον δ' αὖ ὃ πηλίκον ἐλύπησέ με τὸ ὑμᾶς πένεσθαι; Ὦ τῆς δεινῆς θεᾶς τῆς αὐδηέσσης, τῆς τὰ ἀγαθὰ ἐπικαλυπτούσης! Ἐπ' ἀληθείας ἔγωγε ταύτην, εἰ δυναίμην, τῶν τριχῶν ἐπιλαβόμενος, προθέλυμνον ἂν ἐκσπάσαιμι (τὴν χρηστῶν ἀνδρῶν ὀχλήτειραν, τὴν ἐπίτριπτον) καὶ ῥιπτήσαιμι, φέρων τῆλ', εἰς μεγακήτεα πόντον·

ἢὲ τινὸς πέτρας ἐγγὺς ἀπ' ἠλιβάτου,

ἐκεῖνο τὸ Θεόγνιδος παρῳδεῖν, ὅπερ οἶσθα.

Ἀλλὰ βοήθειαν ποιήσεταί ποθεν ὁ παντὸς ἀγαθοῦ χορηγὸς Θεός, κἀγὼ σπουδάσω εἰς δύναμιν χρηστοὺς καὶ ἄλλους προτρέπων. Λαβὲ τὸ μικρὸν τόδε ἐν τῷ παρόντι, οὐ γὰρ ἄρχοντες πολυφόρων χωρῶν καὶ προσόδων μεγάλων ἀεννάων τε ἡμεῖς γε. Ἦ γὰρ ἂν σέ τε καὶ ἄλλους ἱκανῶς κουφίζων εὐφραίνοιμι, καὶ τοῦ Παναγιωτάτου ἐπιτρέποντος, δεῦρο ἐφ' ὧν ἂν ξυγγραφῇ βουλοίμην μετακαλοίμην.

Καὶ ταῦτα μὲν πρὸς ἃ πάνυ φιλικῶς ἐπέστειλας. Σὺ δέ, αἰδέσιμε φίλε, μετ' εὐνοίας αὐτὰ σκόπησον, ἀπὸ σπουδαίας ὄντως καὶ φιλοφίλου διαθέσεως γραφέντα, εἰ καὶ ὡς οὐκ ἂν ἠβουλήθην πέφρασται εὐτελέστερον, ὃ ἐπιεικῶς φέρεις, οὐ γὰρ πόριμοι ἡμεῖς γε, οὐδὲ κατὰ τὸν παρὰ Μωϋσεῖ Βεσελεῆλον ἐκεῖνον, οὗ μέμνησαι, τεχνικοί, ἀλλ' ἐν οὐχ Ἑλλάδι ζῶντες, φιλέλληνες ὅμως ἐς ἀπληστίαν.

Ἔρρωσο εἴς τε δόξαν Θεοῦ καὶ εἰς τιμὴν σαυτοῦ καὶ τῶν σῶν καὶ εἰς εὐφροσύνην τῶν σε ἀγαπώντων καὶ αἰδουμένων.

Ἐκ Τυβίγγης τῇ ιε' μηνὸς Ἀπριλίου τοῦ αφος' ἔτους.

Φιλοῦντες διατελοίητε τὸν καλόν μου Γερλάχιον.

Ὁ τὰ εἰς δύναμιν πάντα σὸς

ΜΑΡΤΙΝΟΣ ὁ ΚΡΟΥΣΙΟΣ

ἑκατέρας γλώσσης καὶ παιδεύσεως ἐν τῇ Τυβιγγίδι Ἀκαδημείᾳ καθηγητής.

ΑΠΟΣΠΑΣΜΑ ΕΠΙΣΤΟΛΗΣ ΘΕΟΔΟΣΙΟΥ ΖΥΓΟΜΑΛΑ ΠΡΟΣ ΚΡΟΥΣΙΟΝ

Μὴ ἔσο ἐπιπολὺ δίκαιος (φησὶν ἡ Γραφὴ) ἵνα μὴ ἀσεβήσῃς· φημὶ δὲ ἔγωγε τοῦτο παρῳδήσας: μὴ ἔσο πολλῶν γλωσσῶν συζητητής, ἵνα μὴ βαρβαρίσῃς σοφώτατε κύριε Κρούσιε. Πλὴν ἐπεὶ τὸ δόξαν σοὶ κἀμοὶ προσφιλές, ὡς ἤδη ἡνωμένων φιλίᾳ ἐκτυφλοῦν εἰωθυίᾳ τὸν φιλοῦντα, καὶ ταῦτα τὰ λεξείδια καὶ ῥησείδια, τὰ καθημαξευμένα, καὶ τὰ πλείω ὡς ἔτυχεν εἰρημένα, οὐκ ὀκνήσας ἐξελληνίσω, ὡς δυνατὸν καὶ σαφηνίσω σοι, γινώσκειν δὲ πρὸ πάντων τούτων ἕνεκα σοῦ βούλομαι τὴν ἀγχίνοιαν, ὅτι αἱ λέξεις αὗται τινὲς μέν εἰσι τοπικαὶ καὶ ἐθνικαί, ἀπὸ τῶν εἰδῶν ὀνομασθεῖσαι, τῶν ὑφαντῶν τυχὸν ἢ πολυποικίλων καὶ δαιδάλων, τί ἄλλων, ὡς βλατία χρυσᾶ καὶ ἑξάμιτα, ἕτεραι δὲ ὀφφικίων εἰσὶ δηλωτικαὶ καὶ ταγμάτων στρατιωτικῶν, ὡς δρογκάριος τῆς βίγλης καὶ ἄλλα πολλά, ἄλλαι δὲ ὠνομάσθησαν ἰδιώματι ἐθνῶν διαφόρων, εἰσὶ δὲ καὶ πεποιημέναι καὶ πολλάκις καὶ ὡς ἔτυχε λεγόμεναι, ἐπικρατῆσαν οὕτω καὶ ἀρχῆθεν ἢ καὶ ἀσήμαντοι ὡς τὸ βλίτηρι. Ἡ γὰρ ἁπλῆ καὶ κοινὴ αὕτη γλῶσσα, εἴτε δημοτικὴ ἢ ἰδιωτικὴ τῶν νῦν δυστυχῶν Γραικῶν πολύμικτός τίς ἐστι καὶ διάφορος Εὑρήσεις γὰρ ἐν ταύτῃ ἑλληνικὰς φωνὰς ἢ καὶ λόγους ὅλους ἔσθ' ὅτε, καὶ ῥωμαϊκὰς ἢ καὶ Ἀγαρηνῶν ἢ καὶ Ἀλβάνων ἢ καὶ ἄλλων ἐθνῶν. Καὶ ἄλλως οἱ Γραικοί, ὡς δένδρη μεράδια πεφυτευμένα ἐν τόποις πολλοῖς, οὕτως οἰκοῦσιν οὗτοι, ἢ μᾶλλον εἰπεῖν, παροικοῦσιν. Ἐν γῇ γάρ, φεῦ ἀλλοτρίων εἰσὶ διεσπαρμένοι, μέτοικοι, ἀναμεμιγμένοι ἔθνεσι. Καὶ εἰ ἀκούσῃς Βυζαντίους λαλοῦντας, ἐνωτισθείσῃ Ἑλλήνων φωνάς, ἁπλᾶς ἄλλας καί τινας Ἀγαρηνῶν, ὧν ἡ πληθὺς ἡ ἐν Βυζαντίῳ, καὶ ὧν (Ἀγαρηνῶν δηλονότι) ἀκούοντες, πολλάς τινας φωνὰς παρενσπείρουσι τῇ αὐτῶν ὡς καὶ ἱματίοις καί τισιν ἔθεσιν αὐτῶν χρῶνται, φιλεῖ γάρ, φησί, τὸ ὑπήκοον γνώμῃ τῇ τοῦ ἄρχοντος ἕπεσθαι καὶ βιοῦν. Εἰ δὲ ἀκούσῃς Κρῆτας, ἐκ τῆς λαλιᾶς γνωριεῖς καὶ οἱ λόγοι αὐτῶν ἀναμὶξ τῇ Λατίνων φωνῇ καὶ ἄλλων. Ἂν δὲ Πελοποννησίους, ἄλλως ὅρα μεμιγμένον λατινικοῖς, ἔπαρ (ἆρον) τὴν τοιμάντα σου, καὶ ἄμε (ἄπελθε) στὸν ἀβουκάτον σου, καὶ εἶτι σὲ κονσεγιάρῃ σατὰ (σὺ) κάμετο. Καὶ τὸ δὴ χείριστον, τούς ποτε σοφωτάτους Ἀθηναίους εἰ ἤκουσας, δακρύων ἂν ἐγένου μεστός. Ὅσον γὰρ ὑπερεπερίσσευσέ ποτε ἐν αὐτοῖς ἡ καθαρὰ καὶ ἄδολος τῶν Ἑλλήνων φωνή, τόσον ἡ βάρβαρος ἐπληθύνθη, καὶ ἀκούεται ἔξοχα πάντων. Μέλλουσι γὰρ εἰπεῖν, ὅρα ὦ εὐτυχές, καὶ ἀντὶ τούτου λέγουσι, γιαπᾶ καλότυχε. Τὰ σῦκα, σοῦκα λέγουσι, τὸν βάτραχον, πα-

κακᾶν καὶ ἄλλα γελοῖα, ὡς καὶ τὴν στολήν, σολήν, τὰ ἔξω τῆς πόλεως προαύλια, ἃ ἐξωπόλεια ἔδει λέγειν, σωπόλια λέγουσιν. Εἰ δέ αὐτῶν, εἰ καὶ πενταετής ἐστι καὶ ἐν ἀλλοδαπῇ παροικήσει, ὅλως τὴν πάτριον οὐ μεταβάλλει, ἀλλὰ τὴν φωνὴν καὶ τὸ ἦθος καί τινα ἰδιώματα τοπικὰ φυλάττει ἀπαραλλάκτως, ἐφ' ὅρῳ ζωῆς (ἔρημοι ἔμειναν Ἀθῆναι χρόνους περίπου 300. Οὗτοι δὲ ἐκ διαφόρων εἰσὶ πόλεων συνηγμένοι. Κρεῖττον σὲ ἀκούειν Ἀθηναίου ἢ νῦν ὁρᾶν). Καὶ ὡς τοὺς Αἰγυπτίους γνωρίζουσιν οἱ Γραικοὶ ἐκ τῆς καρακάξας, ἤτοι κορώνης, οἵτινες ἀντὶ καρακάξας, χαραχάξα λέγουσιν, οὐ γὰρ δύνανται ὅλως λέγειν τὸ κα (ὥς τινες Λατῖνοι ἀντὶ τοῦ θ, τὸ τ, τεὸς ἀντὶ θεὸς προφέρουσιν, εἰ καὶ ἐν γραφῇ ἄλλως), ἀντὶ δὲ τούτου, ἐν πάσῃ λέξει τοῦ χα χρῶνται, οὕτω καὶ Ἀθηναῖοι δῆλοι καὶ Κρῆτες καὶ Πελποννήσιοι καὶ Χῖοι καὶ νησιῶται καὶ λοιποὶ ἄλλοι, πλὴν εἰ καὶ ἔν τισι λέξεσι καὶ φωναῖς παρηλλαγμένως λαλοῦσιν, ἀλλὰ ἕκαστος τὸν ἕτερον καὶ ἄλλον οἶδε καὶ ἀκούει αὐτοῦ λαλοῦντος. Τοῦτο δὲ μόνον, ὅτι εὐθὺς γινώσκει εἷς ἕτερον, ὅτι Βυζάντιος τυχόν, Κρής, Χῖος, Ναύπλιος, Νάξιος, νησιώτης, Ἠπειρώτης, ἢ ὅθεν ἂν ᾖ. Ἡ γὰρ λαλιὰ αὐτοῦ, κατὰ τὴν τοῦ Κυρίου φωνὴν εἰπεῖν πως, δῆλον αὐτὸν ποιεῖ. Ὅθεν μὴ θαύμαζε, ἄνερ ἐλλογιμώτατε, ἂν τοιαύταις ἐντυγχάνῃς φωναῖς. Ὅπου γὰρ πλείω πτώματα, ἐκεῖ καὶ ἀετοὶ πολλοί, καὶ ὅπου ἔθνη πολλά, καὶ γλῶσσαι, ἔν τισι μὲν παρηλλαγμεναι, γιγνωσκόμεναι δὲ ὑπ' ἀλλήλων, ὡς συγγενῶν καὶ γειτνιαζόντων. Οὕτω δέ, οἶμαι, κἀν τῇ Λατίνων.

ΑΠΟΣΠΑΣΜΑ ΕΚ ΤΗΣ ΕΠΙΣΤΟΛΙΜΑΙΑΣ ΔΙΑΤΡΙΒΗΣ ΤΟΥ ΘΕΟΔΟΣΙΟΥ ΖΥΓΟΜΑΛΑ ΠΡΟΣ ΚΡΟΥΣΙΟΝ

Περὶ Ἀθηνῶν ἰδίως ἔγραψά σοι, καὶ ὅσον ἐγίνωσκον, ἐδήλωσά σοι, ὅτε κύριος Συμεὼν ὁ ἀνταγωνιστὴς κυρίου Στεφάνου, ὃς ἀσπασίως προσαγορεύει καὶ ἀμφοτέρους καὶ ἐπιστολὰς ὑμῖν ἔπεμψε, πλὴν καὶ νῦν λέγω περὶ αὐτῶν, ὅτι καὶ πάλιν ἐρωτᾷς. Ὄρη Ἀθηνῶν, τὰ πλησίων τούτων κείμενα (δι' ὧν ὡς οἶμαι θαυμάσιαι αἱ Ἀθῆναι. Διὰ τὸν ἀέρα, τὸν τῆς ὑγείας αἴτιον, μνήμης, εὐφωνίας καὶ ἄλλων καλῶν, τὸν χεόμενον ἐξ αὐτῶν τῶν ὀρῶν, καὶ ἄριστον ὄντα καὶ μυρεψικόν, ταῖς βοτανῶν δυνάμεσι, τῶν ἐς ἀεὶ ἐμφύτων καὶ ἀνεξαλείπτων αὐτοῖς, ὡς ἐμπεριπατήσας εἶδον καὶ κατεσκόπησα ταῦτά εἰσιν Ὁ Ὑμηττός, ὁ *Ἀριλισσός*, ὁ *Λυβακαμιτός*, τῆς Πάρνηθος καὶ ὁ Κορυδαλλός· ποταμοὶ δὲ ὁ Κηφισσὸς καὶ ὁ Ἰλισσός. Τούτων τῶν ποταμῶν

τοῖς ὕδασι ποτίζουσιν Ἀθηναῖοι τὰ δένδρα τῶν ἐλαιῶν, χιλιάδες ὄντα πολλαί, καὶ ἔλαιον ποιοῦσι, δι' οὗ Κωνσταντινούπολις καὶ ἄλλαι πόλεις ἐξαρκοῦνται καὶ Ἀθηναῖοι χρήματα πολλὰ λαμβάνουσι διὰ τὰς χρείας, ἃς ἔχουσιν, ἐξοικονομούμενοι δεόντως. Ὑπὸ δὲ τῆς σοφίας, ἧς νῦν ἔχουσιν. ἢ τἀληθὲς εἰπεῖν, τῆς ἀμαθίας, τὸ ἔλαιον, λαδίφι λέγουσι, γελοίως προφέροντες, ἀνέγνων δέ που καὶ περὶ τῆς πόλεως ταύτης τὰ ἰαμβικὰ ταῦτα ὅσα ἐφαίνοντο ἐν τοίχῳ :

Ἐκ τῶν πρὸ πολλῶν (sic) τῶν λόγων τὴν μητέρα,
χρυσᾶς Ἀθήνας τὴν περίβλεπτον πόλιν,
στοά τις ἤδη ποικίλως κοσμουμένη
γραφῶν ἐκαλλώπιζεν ἐξηρημένων,
κεχρωσμένη σώμασιν ἐκπλήττουσί πως
τῇ στιλπνότητι, Ποικίλη καλουμένη.
Ταύτην δὲ τὴν κρατοῦσαν ἐν πάσαις πόλιν
ναῶν ἐγέρσει καὶ στοῶν ἠνθισμένων
πολλοῖς σὺν ἄλλοις κάλλεσιν θεαμάτων
οἴκων ὑπερλάμπρων τε λαμπραῖς ἰδέαις . . .

Ἦσαν καὶ ἄλλοι στίχοι, οὐκ ἀνεγινώσκοντο δὲ ὑπὸ τοῦ χρόνου ἐξηφανισμένοι· ταῦτα καὶ ἔτι περὶ Ἀθηνῶν.

ΕΤΕΡΑ ΕΠΙΣΤΟΛΗ ΖΥΓΟΜΑΛΑ ΠΡΟΣ ΚΡΟΥΣΙΟΝ

Θεοδόσιος ὁ Ζυγομαλᾶς κυρίῳ Μαρτίνῳ τῷ Κρουσίῳ εὖ πράττειν.

Τὰς ἐπιστολὰς ταύτας ἐσημειωσάμην χάριν σου, σοφώτατε κύριε Μαρτῖνε Κρούσιε, ἵν' ἐνωτισθείης, πῶς τὴν ἁπλῆν ταύτην προφέρουσι φωνὴν εἴτε κοινὴν τὴν ἔχουσαν καὶ ἑλληνικὰς λέξεις καὶ ἀπὸ ἄλλων γλωσσῶν, οἱ γὰρ πλησιάζοντες Λατίνοις τινὰς φωνὰς ἀναμιγνύουσιν, οἱ Ἀγαρηνοῖς ὁμοίως, οἱ Βουλγάροις ὡσαύτως, καὶ ἔτι ἔχουσι καὶ ἰδιώματά τινα ἐν τῇ προφορᾷ. Πλήν, ὁ εἰδὼς λαλεῖν ἁπλῶς μίαν τῶν διαλέκτων (εἰπεῖν) ὡσεὶ οἱ Βυζάντιοι τυχὸν ἢ οἱ Ναύπλιοι, οἶδε λαλεῖν, ἢ (ἵνα εἴπω κρεῖττον) ἵνα καταλαμβάνῃ καὶ ἀκούῃ καὶ τὰς λοιπάς, διαφερούσας καὶ ἐν προφορᾷ, ὡς εἴπομεν, καὶ ἐν λόγοις τισίν, ἡ πλέον δὲ βάρβαρος ἐστι νῦν ἡ τῶν Ἀθηναίων, ἥτις ἦν ὅτε ὑπῆρχεν, ἀρίστη· ἣν τις ἂν εἴπῃ κατὰ διάμετρον τῆς πάλαι τὴν νῦν, οὐκ ἂν ἁμάρτοι· ἀκούοντες γὰρ ἡμεῖς αὐτῶν, ἐννοοῦμεν πως

τί λέγουσιν (ἐν γάρ τισι παρηλλαγμένως λέγουσι καὶ ὀνομάζουσι) καὶ πλὴν γελᾶν, οὐ δυνάμεθα ἐνωτιζόμενοι αὐτῶν.

Ὀνόματα σοφῶν καὶ λογίων ἀνδρῶν ὅσα μέμνημαι, εἰσὶ ταῦτα, εἰ καὶ παρ' ἡμῖν πάνυ ὀλίγοι, οἳ φιλοῦσι σοφίαν, ἀλλ' ὁ καιρὸς ἄλλοις προσέχειν ἀναγκάζει. Δάκνει γάρ τις δήμαρχος ἐκ τῶν στρωμάτων.

Ἐν Κωνσταντινουπόλει εἰσὶ μαθηταὶ τοῦ ἐμοῦ πατρὸς ὡσεὶ 10.

Ἐν Πελοποννήσῳ καὶ ἄλοις τόποις ἕτεροι 10, ἢ καὶ πλέον. Εἰσὶ Θεοφάνους μαθηταὶ ἱερομόναχοι, μοναχοὶ 30,

Εἰσὶν Ἑρμοδώρου μαθηταὶ ἐν Χίῳ τέσσαρες, καὶ ἀλλαχοῦ, ἕκαστος ἐν ἰδίᾳ πατρίδι, ὑπὲρ τοὺς 10.

Ἐν Πατριαρχείῳ νῦν ἐστι διδάσκων ἐπ' ἐκκλησίας ἱερομόναχος Μεθόδιος, μοναχὸς Ματθαῖος. Λέγει ἐνίοτε καὶ ὁ Πατριάρχης· οἱ ἄλλοι τῶν σπουδαίων ἄλλοις προσέχουσιν· ὁ μὲν ἐν κλήρῳ τοῦ Πατριάρχου, οἱ δὲ Νοτάριοι, ἕτεροι μετὰ ἀρχόντων· ἄλλοι σπουδάζουσιν ἰδίως ἕκαστος ἐν τῇ πατρίδι καὶ τοῖς οἰκείοις· καὶ ἄλλος ἄλλοις προσέχει, βασιλείας Γραικῶν μὴ οὔσης, ἢ καὶ ἡ σοφία καὶ οἱ σπουδαῖοι ἐπαναπαύονται.

Δύστηνοι ἐσμὲν Μεγαρεῖς.

Ἐκ τῆς Κωνσταντίνου εἰς Τύβιγγαν.

ΕΠΙΣΤΟΛΗ ΚΡΟΥΣΙΟΥ ΠΡΟΣ ΚΑΒΑΣΙΛΑΝ

Τῷ σοφωτάτῳ καὶ αἰδεσίμῳ ἀνδρὶ κυρίῳ Συμεῶνι, Θεοῦ διακόνῳ, διάγοντι ἐν τῇ Κωνσταντίνου μεγαλοπόλει, εὖ πράττειν.

Πέρυσι, τοῦ φιλτάτου ἡμῶν Ἰωάννου τοῦ Μέλανος ἐξ Ἰταλίας ὧδε ἐπανελθόντος, ἐξ αὐτοῦ ἔγνων περὶ τῆς σῆς ἀρετῆς τε καὶ λογιότητος, τίμιε κύριε Συμεών, καὶ εὐθὺς ἔρωτι φιλίας πρὸς σὲ θαυμαστῷ ἐξεκάην. Εἰ δὲ τότε, ὅτε ἐν Παταβίῳ, ἔτι ἦτε, σὲ ᾔδειν, καὶ ὅτι οὕτως ἀγαθὸς ἀνὴρ ὢν ἀσμένως ἂν εἰς Γερμανίαν ἦλθες, ἔγραψα ἂν πρὸς σὲ ὅτι ἔγωγ' ἐφ' ἑξάμηνον ἢ πλεῖον ἐν τῷ ἐμῷ ἐν Τυβίγγῃ οἴκῳ τἀναγκαῖά σοι πρὸς διαγωγὴν ἐχορήγησα ἂν (μαθησόμενος ἐκ τῆς σῆς εὐκτῆς συνουσίας τὴν σήμερον μιξοβάρβαρον Γραικὴν γλῶσσαν ἐπὶ μᾶλλον) κἀναμφιβόλως ἐντεῦθεν ἄλλην καὶ βελτίω πρόνοιάν σου ὁ Θεὸς ἐποιήσατ' ἄν. Ἀλλὰ νῦν πάλιν ἐν τῇ Κωνσταντίνου ὢν οὐ κακῶς διάγεις, ὡς ἐλπίζω, ἴσθι δὲ ὅτι ὁ κύριος Μέλας, δύο παρὰ σοῦ ἐπιστολὰς κομισάμενος. ἀποκρινεῖται, τὰ ὑπὸ σοῦ αἰτηθέντα εἰς δύναμιν ποιῶν· νῦν μὲν γάρ, νεόγαμος ὤν, περὶ τὴν οἰκο-

νομίαν περισπασμοὺς ἔχει. Ἄμφω δὲ εἰς τὰ μάλιστα φίλοι ἀλλήλοις ἐσμέν, ἅτε αὐτοῦ, ὅτε νεωτερος ἦν, ἐμοὶ μέχρι τοῦ ἐνταυθοῖ καθηγητῇ εἰς ἑκατέραν τὴν γλῶσσαν χρησαμένου. Ἐπεὶ δὲ σὺ τοσοῦτον ἀγαπᾷς αὐτόν, ἐθάρσησα τουτί σου ἐπιστόλιον ἐγὼ γράψαι, ὃν κἀμοὶ φίλον ἀπεντεῦθεν ἔσεσθαι, ὡς ἐλπιζω, οὕτω καὶ πάνυ παρακαλῶ· φίλος γὰρ Ἑλλήνων ἔγωγε τὰ μάλιστα καὶ ἀγαθῶν τοῦ κλεινοῦ ἑλληνικοῦ γένους ἀνδρῶν εὔνοιαν ἐπισπᾶσθαι, συνδέειν τὸ εἰς δύναμιν τῇ Γερμανίᾳ τὴν Ἑλλαδα γλιχόμενος ὢν καὶ τὴν παλαιὰν ᾧδε φωνήν, κατὰ τ ὀλιγοδύναμόν μου διδάσκω, καὶ τῆς σημε‹ρ›ινῆς δέ, τῆς ἐκβαρβαρωθείσης, ἐπεθύμησα, ἐν ᾗ ἔστιν ἃ ἤδη νοῶν προέκοψα. Ἀλλ' οὐκ ἔχω λεξικόν τι αὐτῆς, ὅ με οὐ μετρίως ἀνιᾷ. Ἐν δέ σοι σμικρὸν σχολῆς, δέομαί σου, τὰ ἐπιθαλάμια, ἃ πέμπω, τῇ κοινῇ καὶ δημοτικῇ ταύτῃ φωνῇ μόνον κατὰ λέξιν ἑρμηνεύειν, κἀμοὶ τὴν ἑρμηνείαν πέμπειν ναὶ μὴν καὶ ἄλλο τι ἐν τῇδε τῇ διαλέκτῳ ὅπερ ἂν ἄλλως ἀπορρίψειας, ἀποστέλλειν, ἵνα ἐντεῦθεν γοῦν τι προσμάθω. Ἀλλ' εἴ τις πόνος τῷ πράγματι πρόσεστιν, οὐ βαρὺς ἐπικείσομαι ἀλλὰ φείσομαι. Ἡδέως δ' ἔτι εἰδείην ἂν ποίᾳ νυνὶ διαλέκτῳ περὶ Θεσσαλονίκην καὶ ἐν Ἀθήναις χρῶνται καὶ ποῖον πόσον τε ἔτι τὸ Ἀθηνῶν ἄστυ, καὶ τἆλλα αὐτῶν (κατὰ τῶν τάχ' οὐκ ἀληθῆ παρ' ἡμῖν αὐτῶν περιγραψάντων) ὄντα τυγχάνει, καὶ ποῦ τῆς Ἑλλάδος, ἔτι ἥκιστα ἡ πάλαι γλῶττα ἐκβεβαρβάρωται. Ἀλλὰ πέρα τοῦ δέοντος ἐνοχλῶ σου τὴν λογιότητα. Ἀσπάζεταί σου τὴν αὐθεντίαν ὁ καλὸς ἡμῶν Μέλας, εἰσαῦθις τὰ δέοντα πρὸς σὲ ποιήσων. Πάνυ σὲ ὁ ἀγαπητός μου Γερλάχιος φιλεῖ καὶ μέμνηταί σου ἐν οἷς μοὶ ἐπιστέλλει, ἐπ' ἀγαθῷ πάνυ. Ἔρρωσο ἐν Χριστῷ, λογιώτατε καὶ αἰδέσιμε κύριε, καὶ καλῶς τἀμὰ γράμματα ἀποδέχεσθαι ἀξίωσον.

Ἔγραψα ἐν Τυβίγγῃ, Βιρτεμπεργίας πόλει, τῇ κζ' μηνὸς Μαΐου, ἔτει τῆς Θεογονίας αφοζ'.

ΜΑΡΤΙΝΟΣ ΚΡΟΥΣΙΟΣ

ἐν τῇ Τυβιγγίδι Ἀκαδημείᾳ, ἑκατέρας Ῥώμης φωνὴν διδάσκων.

ΑΠΑΝΤΗΣΙΣ ΚΑΒΑΣΙΛΑ ΠΡΟΣ ΚΡΟΥΣΙΟΝ

Τῷ σοφωτάτῳ καὶ λογιωτάτῳ κυρίῳ Μαρτίνῳ τῷ Κρουσίῳ Συμεὼν εὖ πράττειν.

Ἔναγχος τὰ τῆς σῆς λογιότητος γράμματα κομισάμενος, ἃ μετ'

αἰδοῦς ἀναπτύξας, οὐ μόνον τῇ τῆς εὐμουσίας κομψότητι καὶ τοῖς ἐνοῦσιν ἀττικισμοῦ, ἀλλὰ τῷ τῆς φιλίας, ἣν πρὸς ἡμᾶς ἔχων συνδέσμῳ διατελεῖς, ἥσθην, πῶς δοκεῖς; Τὴν γὰρ τέχνην ὅλως τοῖς παλαιτέροις ἐμφερὴς εἶναι, καθ' οἷον δή τινα οὖν τρόπον ἐδόκεις, καί τινες τῶν παρ ντων σοφῶν ἀναγινώσκοντός μου ἀκούοντες, δυοῖν σ' ἤθελον ἐξισῶσαι ῥητόροιν, τόν τε ῥυθμὸν καὶ φράσιν τῷ Δημοσθένει, καὶ τὰς ἰδέας Ἰσοκράτει τῷ πάνυ. Ἐγὼ δ' ὑφ' ἡδονῆς, σὲ καὶ τὰ σὰ τότ' ἐκθειαζόντων ἐκείνων, ἅλλεσθαι ἤθελον, νὴ τὸν φίλιον. Καὶ ταῦτα μὲν οὕτως. Ὁ δὲ σοφὸς κὰν τοῖς φιλτάτοις Γερλάχιος τὴν ταχίστην ἅπερ μοι πέπομφας κεκόμικε. Καίτοι παρέλκον ἦν διὰ τοῦ νομίσματος, ὅμως πλείστας ὁμολογῶ σοι τὰς χάριτας, δι' ὧν δ' ἐπετείλω, καθ' οἷόν τ' ἐπονησάμην. Πῶς γὰρ ἅπερ ὁ μέγας τῶν Γερμανῶν κὰν σοφοῖς περιώνυμος Κρούσιος καθικέτευσεν, οὐ ποιήσομαι; Οὔμενουν. Καὶ περὶ μὲν τούτων ἅλις.

Ἐγὼ δ' ἀργαλέον θαρρούντως καθικετεύω τὴν σὴν λογιότητα, ἵνα τὸ βιβλίον, ὅ σοι χωρὶς ἐσημειωσάμην, παρ' ὑμῖν ὡς ἐπὶ τὸ πολὺ λατινιστὶ εὑρισκόμενον ἑλληνιστὶ ποιήσασα, τῇ ἑκατέρᾳ φωνῇ πέμψαι μοι. Δι' ὧν κἄγωγε κατὰ λέξιν ἰδιωτικῶς ἅπαν τὸ τοῦ Αἰσώπου, ἢ καί τινας τῶν Ἰσοκρατικῶν λόγους ποιήσω, μαθεῖν ῥᾷστως τὴν ἰδιωτικὴν διάλεκτον. Εἰ δέ γε πλεῖστον σοὶ περὶ τούτου δοκεῖ, κἂν τὸ λατινικὸν διὰ σοῦ καθέξοιμι, δέομαι. Κέκτημαι γάρ τινα σοφώτατον ἰατρὸν ῥωμαῖον (ὅν σοι καὶ φίλον συνίστημι) ἐν τοῖς λατινικοῖς ἄριστον, κὰν τούτῳ προσανταμείψομαι.

Πρὸς τούτοις δὲ γράψοις μοι· πόθεν τῆς ἀστρολογίας χρεὼν ἄρχεσθαι. Τοσοῦτος γὰρ ἔρως ταύτης με κατεπείγει, ὥστε τὴν ἐμὴν ψυχήν, τὸν Ἀριστοτέλην φημί, πολλάκις καταλιμπάνειν, κὰν τοῖς ἐκείνης ἀσχολούμενον ἐφευρέμασιν, ἐφ' οἷς οὐδέτερον τῶν τοῦ Πτολεμαίου κανονίων πλέον ἀσχάλλει. Τοσούτων οὖν καὶ τηλικούτων πραγμάτά μοι παρεχομένῳ, σύγγνωθι πρὸς Θεοῦ, σοφῶν ἄριστε. Ἔρρωσο.

Ἀπὸ Πατριαρχείου, ἐλαφηβολιῶνος γ' ἐπὶ δέκα.

Εἴπερ ἐγὼ καθ' ὥραν ἐνταυθοῖ οὐχ ὑπάρχω, τῷ κυρίῳ Φιλίππῳ, τῷ ἰατρῷ, τὸ βιβλίον δότωσαν.

Ὁ κύριος Μέλας σὺν τῳ τούτου ξυμμάχῳ προσειρήσθω μοι.

*
* *

Κυρίῳ Μαρτίνῳ τῷ Κρουσίῳ.

Πάλαι μὲν τὸ τῶν Ἀθηνῶν ἄστυ τρίπλοκον ἦν, καὶ ἅπαν οἰκούμενον. Νῦν δὲ τὸ μὲν ἐσώτερον (ὅπερ ἀκρόπολις, ἐν ᾧ καὶ ναὸς τῷ Ἀ-

γνώστῳ Θεῷ) ἅπαν ὑπὸ μόνων Ἰσμαηλιτῶν οἰκούμενον. Τὸ δὲ ἐκτὸς (τὸ ἀναμεταξὺ φημὶ) ὅλον ὑπο τῶν Χριστιανῶν. Τοῦ δ' ἐξωτέρου (ἐν ᾧ καὶ βασίλεια διὰ μαρμάρων καὶ κιόνων μεγίστων, ἐφ' ὧν τῆς πύλης ἐπιγέγραπται μονόστιχον καὶ ἔτι σωζ μενον:

Αἵδ εἰσ' Ἀθῆναι, Θησέως ἡ πρὶν πόλις

τὸ τρίτον, οἰκούμενον. Ὅλον δέ, ἐν ὅσῳ οἱ ἄνθρωποι ὄντες τυγχάνουσιν (ἐξ ὧν ἄνδρες τὸν ἀριθμὸν χιλιάδες δωδεκα) ἀφ' ἓξ ἢ ἑπτὰ μιλίων περιεχόμενον.

Περὶ δὲ τῶν διαλέκτων τί ἂν καὶ εἴποιμι, πολλῶν οὐσῶν καὶ διαφόρων, ὑπὲρ τῶν ἑβδομήκοντα; Τούτων δ' ἁπασῶν ἡ τῶν Ἀθηναίων χειρίστη. Βουλόμενοι γὰρ εἰπεῖν: ἰδοὺ πίστις, ὑπήνη τῶν Ἑλλήνων δικαιοσύνη, λέγουσιν ἀντὶ τούτων: ἐπᾶ πίσι, ἐπᾶ σολή, ἐπᾶ ῥωμαΐκη κρίσι. Καὶ ἀντὶ τοῦ σύ, σο', καὶ πορεύου, σοῦρε, καὶ λύτραν, λούτραν. Οὓς οἱ τὴν Ἑλλάδα οἰκοῦντες, καλῶς τὰ πολλὰ φθεγγόμενοι, βαρβάρους τὸ παράπαν ἀποκεκλήκασι, τούτους βδελυττόμενοι. Ὥστε πεπονθέναι τοῖς πάλαι κατὰ διάμετρον.

Ἐν δὲ τῇ Θεσσαλονίκῃ καὶ Βυζαντίῳ καὶ ἐν Πελοποννήσῳ καὶ ἐν ἄλλῃ Ἑλλάδι εὑρήσεις καλῶς τὴν καθ' ἡμᾶς ἰδιωτικὴν φθεγγομένους ἐνίους, ὡς καὶ τοὺς πάλαι. Κἀκείνους γὰρ ταύτην (τὴν ἰδιωτικήν φημι) καθάπερ ἡμᾶς, προφέροντας ἐν πολλοῖς μάλιστα κωμῳδοῖς εὑρίσκομεν. Τούτου χάριν οὐ μιξοβάρβαρον, ἀλλ' ἰδιωτικὴν τῶν Ἑλλήνων τίς ὀνομάσειεν, εἰ καί τινα τῶν βαρβαρικῶν λέξεων (ὡς τὰ τῶν μηνῶν ὀνόματα, ἰταλικῶς) προφέρουσαν. Καὶ ταῦθ' οὕτω μὲν ἔχει. Αὐτὸς δέ, μίαν καὶ μόνην μαθών, ἣν καὶ ἡμεῖς, ἁπάσας καλῶς εἴσῃ. Ἔτι τῶν ἡμετέρων ἰδιωτῶν, τοὺς μὲν δωρικῶς, τοὺς δὲ ἀττικῶς, ἄλλους αἰολικῶς, ἑτέρους ἰωνικῶς, πρὸς τούτοις δὲ καὶ κοινῶς φθεγγομένους εὑρήσοι τις. Σύγγνωθι τοίνυν, ἀνδρῶν ἄριστε, καὶ μή μου τοῦ ψυχροῦ κατεψήφιζε, ἐν τοσαύτῃ φρίκῃ καὶ χιόνι γραφέντων.

Ἐν Πατριαρχείῳ τοῦ Βυζαντίου.

ΣΥΜΕΩΝ ΚΑΒΑΣΙΛΑΣ
Ἐκ πόλεως Ἀχαρνανίας τῆς Ἑλλάδος.

ΕΠΙΣΤΟΛΗ ΚΡΟΥΣΙΟΥ ΠΡΟΣ ΠΟΡΤΟΝ

Κυρίῳ Φραγκίσκῳ τῷ Πόρτῳ, Κρητὶ σοφωτάτῳ τῶν ἑλληνικῶν διδασκάλῳ ἐν Γενεύῃ, χαίρειν ἐν τῷ Σωτῆρι τοῦ ἀνθρωπίνου γένους.

Πρὸ πολλοῦ μὲν ἤδη σπουδάσας γνώριμός τινι τῶν Ἐνετίῃσι δια-

γόντων Ἑλλήνων γενέσθαι, τῆς μου προθέσεως ἀπέτυχον μέχρι δεῦρο, οὐκ εἰδὼς τὸ αἴτιον τί, ἔπειτα δέ, πυθόμενος τὰ περὶ σοῦ, σοφώτατε ἄνερ, ὡς Ἕλληνός τε τὸ γένος ὄντος, καὶ τῆς ἑλληνικῆς παιδείας εὖ μάλα ἔχοντος, καὶ ἐν Γενεύῃ ταύτης προεστῶτος, σφόδρα ἐχάρην, ἐλπίζων, εἰ μὴ ἐκεῖθεν, ἐντεῦθεν γοῦν τοῦ προκειμένου ἐπήβολος γενήσεσθαι· ἀλλ' ὅμως, καίπερ οὕτω προθυμίας ἔχων, οὐκ εὐθὺς ἐτόλμησά σοι, ἐπιστέλλων πράγματα παρέχειν, φοβούμενος τὸν τοῦ προπετὴς ἢ ἴσως ἀναιδὴς φανήσεσθαι κίνδυνον· οὕτως ἄρα συχνὸς ἤδη χρόνος τῇ σιωπῇ μου ταύτῃ ἐξερρύη, μέχρις ὀψέ ποτε τοῦ πράγματος κατατολμητέον ἡγησάμην. Ἐπιθυμῶ τοίνυν, λογιώτατε κύριε, ὑπὸ σοῦ γνωσθῆναι, ὡς τῆς Ἑλλάδος φωνῆς καὶ τοῦ ἑλληνικοῦ ἔθνους (φεῦ τῆς αὐτοῦ ὑπὸ τοῖς βαρβάροις δουλείας) θαυμαστής τε καὶ φίλος, ὡς οὐδεὶς τῶν ὁμοεθνῶν μᾶλλον βούλομαι οὖν, ὅσον δύναμαι, δεηθῆναί σου, συγγνώμην μοι τῆς τόλμης ἀπονεῖμαι, κἀμὲ τοὐμοῦ πόθου ἐπιτυχῆ καταστῆσαι, λίαν ἡσθησόμενον, εἰ ἐκ τῶν τῆς ὀνομαστοτάτης Ἑλλάδος λειψάνων, κἂν ἑνὸς τὴν γενεὰν Ἕλληνος ἀνδρός, Γερμανὸς ὤν, γνώσεως καὶ προσρήσεως εὐτυχοίην. Εὔελπις δ' ἄρα εἰμί, τεκμαιρόμενος τῷ προσηνεῖ καὶ κομψῷ, ὧν ὑπὸ σοῦ ἐκδοθέντων ἐπιγραμμάτων καὶ ἐπιστολῶν ἐν διαφόρων βίβλοις εἶδον. Χαρίσαιο τοίνυν, Ἑλλήνων ἄριστε, κἀπειδὰν κατὰ τοῦτο χαρίσῃ, πρόσθες καὶ ταυτηνὶ τὴν χάριν, τὴν τοῦ τὸν ἐλλογιμώτατον τῶν τυπογράφων ὑπὲρ ἐμοῦ φιλικῶς ἀσπάζεσθαι, Ἑρρῖκόν φημι τὸν στεφάνων ἄξιον Στέφανον. Ἔρρωσο ἐν Χριστῷ ἐπὶ μήκιστον.

Ἐκ Τυβίγγης, τῇ β' Σεπτεμβρίου ἱσταμένου, ἐν ἔτει αφο.

ΜΑΡΤΙΝΟΣ Ο ΚΡΟΥΣΙΟΣ

Ἐν Τυβίγγῃ τὰ Λατινικὰ καὶ Ἑλληνικὰ
κατὰ τὴν μετριότητά μου διδάσκων.

ΑΠΑΝΤΗΣΙΣ ΠΟΡΤΟΥ ΠΡΟΣ ΚΡΟΥΣΙΟΝ

Τῷ καλῷ κἀγαθῷ ἀνδρὶ Μαρτίνῳ τῷ Κρουσίῳ, τὴν τῶν Ἑλλήνων καὶ Λατίνων παιδείαν δημοσίᾳ ἐν Τυβίγγῃ διδάσκοντι.
Φραγκῖσκος ὁ Πόρτος Μαρτίνῳ τῷ Κρουσίῳ εὖ πράττειν καὶ χαίρειν ἐν Χριστῷ τῷ Σωτῆρι ἡμῶν.

Ἐκομισάμην τὰ παρὰ σοῦ πεμφθέντα μοι γράμματα, ἐν οἷς τά τε ἄλλα καὶ τὴν σὴν φιλανθρωπίαν τε καὶ καλοκαγαθίαν ἠσπασάμην καὶ ἠγάσθην, καὶ τὴν Ἑλλάδος τύχην ἀπωλοφυράμην· ἐθαύμασα τὸ ἦθος καὶ τὸν τρόπον, ὅτι σύ, τοιοῦτος ὤν, τοσαύτην ὅμως σπουδὴν

ποιεῖς τοῦ γνώριμος γενέσθαι ἀνθρώπῳ, Ἕλληνι μὲν τὸ γένος, τἆλλα δέ, παιδείας καὶ καλῶν τῶν τοῖς τῶν Ἑλλήνων σοφοῖς ὑπαρχόντων, ἢ παντελῶς ἀμοιροῦντι ἢ μετριώτατα μετέχοντι· ἐδάκρυσα δὲ τοσαύτην ἀκαταστασίαν καὶ τύχης μεταβολὴν γεγονέναι, ὡς τὰς Ἀθήνας, τὴν τῆς Ἑλλάδος Ἑλλάδα, τὸ φῶς τῆς οἰκουμένης, τὸν ἱερὸν τῶν Μουσῶν σηκόν, τὴν ἁπασῶν ὑφ' ἥλιον ἐλευθερωτάτην πόλιν, δουλεύειν (φεῦ) νυνὶ βαρβάροις, καὶ ὀλέθροις καὶ οὐδ' αὐτὸ τὸ περιφανέστατον ὄνομα διασῴζειν, παιδείαν δὲ καὶ λόγους ἀλλαχοῦ τῆς γῆς, ἐν ἔθνεσιν ἀλλοδαποῖς (Βρεττανοῖς ἐσχάτοις, Κέλταις καὶ Γερμανοῖς) ἀσκεῖσθαι καὶ διάσημον εἶναι. Ταύτην ἐδάκρυσα τὴν τύχην, ἀναγνοὺς τὴν σὴν ἐπιστολήν, καὶ διεξελθὼν τὰ καθ' ἕκαστον αὐτῆς μετ' ἐκπλήξεως. Οὐ μήν, ἀλλ' ἐπειδὴ τῶν πάντων διαδοχὴ καὶ οὐδὲν ἔστι τῶν ὄντων, ὅπερ ποτὲ εἰς πεῖραν μεταβολῆς οὐκ ἔρχεται, οἰστέον γενναίως τὸ πεπρωμένον καὶ στερκτέον, ὅτι ἐν ἀλλοφύλοις ἔθνεσιν, καὶ πορρωτάτω τῆς γῆς οἰκοῦσιν ὑπὸ πλείστων καὶ τοιούτων, οἷος εἶ σύ, ἀνδρῶν τῶν τῆς Ἑλλάδος ὄνομα, δίκην μητρὸς γνησίας τιμᾶται καὶ στέργεται καὶ φαίνεται τριπόθητον εἶναι. Ἐγὼ δέ σοι χάριτας τὰς μεγίστας ἔχω καὶ ὁμολογῶ, ταύτης τῆς πρὸς ἐμέ σου προθυμίας καὶ φιλοφροσύνης, ἀνθ' ἧς ἐλπίδας ἔχω ἀγαθὰς ἀμοιβήν σοι τὴν πρέπουσαν ἀποτίσειν. Δέχομαι τοίνυν, φίλη κεφαλή, τὸν οἰωνόν, καὶ ἕρμαιον εὑρεῖν με τὸ τιμαλφέστατον ἡγούμενος, τὴν σεμνοτάτην λέγω ταυτηνὶ φιλίαν πειράσομαι διαφυλάξαι, καὶ μετὰ πάσης ἐπιμελείας αὐτὴν οἰκουρῆσαί τε καὶ θρέψαι, ἐφ' ᾧ τε αὐξηθεῖσαν καὶ εἰς ἀκμὴν κατασταθεῖσαν, σέ τε κἀμέ εὐφρᾶναι, σὲ μέν, τυχόντα οὗ φαίνῃ ἐπιθυμῶν, ἐμὲ δέ, τοιοῦτον φίλον εὑρόντα, ᾧ πάντοτε ἀγάλλεσθαι καὶ παρὰ πᾶσιν ἀνθρώποις ἐλλαμπρύνεσθαι οἷός τε ἔσομαι.

Ἔρρωσο, τιμία μοι κεφαλή, καὶ ἀντὶ φίλει ἤδη τὸν σὲ θαυμάζοντα.

Ἐν Γενεύῃ, Ἀνθεστηριῶνος ιε', ἔτει τῷ αὐτῷ τῆς Χριστοῦ Θεογονίας αφο'.

ΑΝΕΚΔΟΤΟΣ ΕΠΙΣΤΟΛΗ

ΝΙΚΑΝΟΡΟΣ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΘΗΝΩΝ

(Ἐκ τῶν χειρογράφων τοῦ Κρουσίου)

Τῷ Παναγιωτάτῳ ἡμῶν αὐθέντῃ καὶ δεσπότῃ τῷ Οἰκουμενικῷ Πατριάρχῃ, εὖ δοθείη.

Παναγιώτατε ἡμῶν αὐθέντα καὶ δέσποτα, καὶ Οἰκουμενικὲ Πατριάρχα θειότατε καὶ θεοχαριτώτατε· τὴν σὴν παναγιότητα δουλικῶς

προσκυνῶ καὶ τὴν τιμίαν αὐτῆς δεξιὰν ἀσπάζομαι· ὑγιαίνοι τὸ θεοφρούρητον σκῆνός του, εἰς σύστασιν τοῦ χριστιανικοῦ πληρώματος καὶ εἰς ἡμῶν τὸν ἐν ὅλῃ ψυχῇ ἀγαπώντων σε ἀκόρεστον καὶ ἄφατον ἀγαλλίασιν. Ζῶμεν καὶ ἡμεῖς εἰσέτι ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις δεήσεσι· πλὴν ἐν πειρασμοῖς πλείστοις ὑπό τε τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν· ἐμάθαμεν τὰ περὶ τῆς σῆς ὑγείας καὶ ἐχάρημεν λίαν· τοῦτο γὰρ ἀκηκόαμεν ἀπὸ τῶν ἡμετέρων ἀνθρώπων· καὶ ὅτι πῶς φιλεῖς ἡμᾶς, ὡς τὸ πρότερον, εἰ καὶ ὁ ἐχθρὸς ἠνάγκασέ τινας κακεργάτας ἐκκόψαι τὴν ἑταιρείαν ὀλίγον, ἀλλ' εἰς ψευδῆ καὶ ληρώδη αὐτῶν κατηγορήματα ἀπεφάνθησαν, ἔμπροσθεν τῶν ἀρχιερατικῶν συνόδων, δηλονότι τοῦ ἁγίου Θηβῶν καὶ τοῦ Εὐρίπου· ὁμοίως καὶ τῶν ἁγίων ἐξάρχων ὡς αἱ ἀναφοραὶ αὐτῶν ἐδηλοποίησαν τῇ σῇ παναγιότητι, σὺν τούτοις καὶ τῶν ἱερέων καὶ ἀρχόντων *τῆς Ἀθήνας*. Διὸ δέομαι καὶ ἀντιβολῶ σε μὴ ἀκούσῃς τῶν χαιρεκάκων ἀνθρώπων τοὺς λόγους καὶ σύγχυσις μεταξὺ σοῦ τε καὶ ἐμοῦ γίνεται· ὅτι ἐγώ, Κύριος οἶδε, φιλῶ καὶ εὐχαριστῶ τὴν σὴν παναγιότητα ὅπως ἀνύψωσάς με καὶ ἐτίμησας ἀπὸ τοῦ μὴ ὄντως με εἰς τὸ εἶναι παρήγαγες, καὶ πῶς ἀντὶ εὐχαριστίας ἧς ἔμελλον ἀποδοῦναί σοι ἀχάριστος καὶ ἀπειθὴς ὀφθῶ, ἥκιστα ἐγένετο τοῦτο εἰς ἐμέ, οὔτε μὴν εἰς τὸ ἑξῆς γενήσεται. Ἀλλ' ἔσομαι δοῦλος καὶ υἱὸς γνήσιος τῆς σῆς παναγιότητος, ὡς ἤμουν καὶ εἶμαι· ἀντιβολῶ πάλιν ἵνα ἀποστείλῃς τίμιά σου γράμματα· νὰ ὁρίζω τῆς ἐκκλησίας τὰ ὀφφίκια ὅτι πολλὰ ἐνοχλοῦσί με δι' αὐτῶν μετὰ παρακάλεσιν ἀνθρώπων καὶ μὲ τῶν ἔξωθεν· καὶ περὶ τῶν διακοσίων χρυσίνων τοῦ Διαυλείας, ὅτι πολλὰ ἀδικήθηκα εἰς τὴν ἐπισκοπήν. Οἱ Πλατύποδες κατέσχον τὰ τῆς μητροπόλεως ἅπαντα, ὁ Διαυλείας τοὺς χρυσίνους, ἐγὼ δὲ τήκομαι ὑπὸ τοῦ χρέους οὗ ἠγόρασα τὰ τῆς ἐπισκοπῆς πράγματα· παίδευσον καὶ τοὺς ψευδοκατηγορητὰς ὅσον βούλει ἵνα καὶ αὐτοὶ παύσωνται τῶν σκανδάλων καὶ ἡμεῖς ἤρεμον βίον διάγωμεν. Ἰδοὺ στέλλομεν καὶ τῇ σῇ παναγιότητι ἓν ἀσκίον πλῆρες ἐλάας. Διὸ ἀπόστειλον τίμιόν σου γράμμα δηλοποιοῦν ἡμῖν περὶ ὧν ἀπέστειλά σοι μετὰ τῶν ἡμετέρων ἀνθρώπων, μὲ τὸν Μακάριον καὶ μὲ τὸν κομιστὴν τοῦ νῦν γράμματος. Καὶ ταῦτα μὲν οὕτως· αἱ δὲ πανάγιαι καὶ θεοπειθεῖς σου εὐχαὶ εἴησαν μεθ' ἡμῶν βίῳ παντί. Ἀμήν.

† Ὁ Ἀθηνῶν Μητροπολίτης ΝΙΚΑΝΩΡ
καὶ σὸς υἱὸς κατὰ πνεῦμα.

ΣΧΕΤΙΚΗ ΕΠΙΣΤΟΛΗ ΣΥΜΕΩΝΟΣ ΙΕΡΟΜΟΝΑΧΟΥ

Κυρίῳ Θεοδοσίῳ Ζυγομαλᾶ Πρωτονοταρίῳ.

Εὐγενέστατε, τιμιώτατε, σπουδαιότατε καὶ λογιώτατε καὶ πάσης ἑλληνικῆς τάξεως πεπληρωμένε ἅγιε Πρωτονοτάριε τῆς Μεγάλης Ἐκκλησίας, κύριε Θεοδόσιε, ὁ πολὺς τῷ λόγῳ καὶ τῇ γνώσει, χαίροις καὶ ὑγιαίνοις καὶ εὖδε ἐν Χριστῷ, τῷ ἀληθινῷ Θεῷ ἡμῶν. Ἀπονέμομέν σοι δὲ καὶ ἡμεῖς οἱ εὐτελεῖς τὴν ὀφειλομένην μετάνοιαν, καὶ τὸν ἐκ μέσης ψυχῆς γλυκύτατον ἀσπασμόν. Ὑγιαίνω καὶ αὐτὸς μακροθυμίᾳ Θεοῦ ἕως ἄρτι σωματικῶς, τὴν δὲ ψυχὴν Κύριος οἶδεν. Ἴσθι τὶ ἦλθον καὶ ἕως Χίον, ἤθελον δὲ ἐλθεῖν καὶ αὐτοῦ καὶ ἀναμνησθεὶς τὸν θυμὸν τοῦ θανατικοῦ, οὐκ ἦλθον, ἀλλὰ ἦλθον ἐν τῇ Ἄνδρῳ, ὅθεν ἐξῆλθον καὶ ἐκάθισα μὲ τὸν Γέροντά μου καὶ τὸ νῦν ἔτος. Νῦν δὲ ἐνθυμηθεὶς γράφω σοι, καὶ μὴ ἔστω εἰς βάρος. Γνωστὸν ἔστω σοι ὅτι ἐδῶ ἤθελεν ἦστεν εἷς ἄνθρωπος, λεγόμενος Θεοδωρὶς Μπερλόζος, καὶ ἐχρεώσταν τοῦ κυρίου Μιχαὴλ τοῦ Πλατυπόδου ἄσπρα 1500 ἤγουν χίλια πεντακόσια, ὡς λέγει. Καὶ αὐτος ὁ Θεοδωρὶς ἐλθὼν ἐν τῇ Κωνσταντινουπόλει ἐκοιμήθη, ὁ ὁποῖος ἦτο παντρεμένος ξεπρουκισμένος ἀπὸ τὸν πατέρα του σήμερον τριάκοντα χρόνους, μάλιστα καὶ δίγαμος Νῦν δὲ ἐλθὼν ὁ αὐτὸς κατὰ Μιχαήλ, καὶ ἐγύρευσεν τὰ ἄσπρα του τῆς γυνῆς τοῦ ποτὲ Θεοδωρὶ καὶ αὐτὴ οὐκ ἔδωκεν αὐτά, μᾶλλον δὲ ἐπῆγαν καὶ εἰς τὴν ἐξωτζικὴν κρίσιν, καὶ κατὰ ταῖς κρίσαις τοῦ τ' ἀπόπαν, οὐκ ἔδωκαν αὐτοῦ δίκαιον ἵνα λάβῃ αὐτά· νῦν δὲ ἐλθὼν ὁ αὐτὸς κατὰ Μιχαὴλ εἰς τὸν δεσπότην μας τὸν οἰκουμενικόν, καὶ ἔλαβεν γράμματα, καὶ ἐξώθουν την τῆς ἐκκλησίας, καὶ αὐτήν, καὶ τὸν πεθερὸν μετὰ τῆς πεθερᾶς αὐτῆς, μᾶλλον δὲ εἶχεν καὶ ἀδελφὸν ὁ ποτὲ Θεοδωρὶς, ὀνόματι Γαβριὴλ ἱερομόναχον, καὶ ἔλειπεν ἐν Ἀθήναις, ἐν τῇ ἁγιωτάτῃ Μητροπόλει. Νῦν δὲ ἐλθὼν καὶ τὰ τίμια γράμματα τοῦ δεσπότου τοῦ οἰκουμενικοῦ ἀργίζουν καὶ αὐτὸν διὰ τὴν ὑπόθεσιν τοῦ ποτὲ ἀδελφοῦ αὐτοῦ, καὶ αὐτοὶ κατὰ τὸν ὁρισμὸν τοῦ παναγιωτάτου ἐξώθησαν τῆς ἐκκλησίας ἔμεινεν δὲ καὶ ὁ πτωχὸς ὁ παπᾶ Γαβριήλ, ὁ ἱερομόναχος καὶ ὁμοῦ ἀδελφὸς κατὰ Θεὸν καὶ συγγενὴς ἀργός κατὰ πῶς γράφουν τὰ τίμια γράμματα· καὶ διὰ τοῦτο δέομαι ἀντιβολῶ καὶ ἀξιῶ τὴν ἀφεντία σου, ἵνα μὴν ἀπαξιώσῃς τῆς ἡμῶν αἰτήσεως, ἵνα κοπιάσῃς εἰς τὸν δεσπότην νὰ τὸν εἴπῃς τὴν ὑπόθεσιν, καὶ νὰ κάμῃς ὅσον δύνασαι, νὰ τοῦ στείλῃ ὁ ἅγιος ὁ οἰκουμενικὸς ἕνα κομμάτι γράμμα νὰ ἱερουργῇ· καὶ ἂς τὸ στείλῃ εἰς τὸν ἅγιον τὸν Ἄνδρου ὅτι εὑρίσκεται ἔδω εἰς ἡμᾶς· στέλλω σοι καὶ τὴν ἔξοδον τοῦ γράμματος ἄσπρα δύο

καὶ δέκα, καὶ ποίησον ἡμῶν τὴν αἴτησιν καὶ ἡμεῖς ἤμεσθεν εἰς ὅ,τι μᾶς ὁρίσῃς, καὶ στεῖλε ἡμῖν γράμμα μὲ τὸν κομιστὴν τῆς παρούσης καὶ ἂς ἔλθῃ τὸ γράμμα τοῦ δεσπότου μετ' αὐτοῦ τοῦ κομιστοῦ. Ἄλλο δέ· ἡ κυρᾶ Μακαρία ἡ Μποζίκενα σοῦ ποιεῖ μετάνοιαν καὶ παρακαλεῖ σε πολλὰ διὰ τὰ πράγματα τοῦ υἱοῦ αὐτῆς, τοῦ ποτὲ Θεοδώρου, ὁποῦ κρατεῖ ὁ παπᾶς Νικόλαος εἰς τὴν Σκύρον καὶ οἱ ἐξάδελφοι αὐτοῦ, καὶ ποίησον τὸ καλλιώτερον διὰ τὰς ὑποθέσεις ὁποῦ σοῦ γράφω, ἐὰν μὲ ἀγαπᾷς· δῴη μοι Κύριος ὁ Θεός, ἵνα θεάσωμαι τὴν σὴν χαριτόμορφον μορφήν, ὄμμασι ψυχικοῖς καὶ σωματικοῖς καὶ λίαν ποθοῦμεν, ἐν Κωνσταντινουπόλει· ἄλλο οὐδὲν καὶ Κύριος ὁ Θεὸς ἔστω βοηθὸς ὑμῶν καὶ ἡμῶν. 1577, Νοεμβρίου 21, ἀπὸ Ἄνδρου, ἔρρωσο. Τὰ ἄσπρα τὰ στέλλω μὲ τὸν κομιστὴν τῆς γραφῆς, καὶ λάβε αὐτά, καὶ παρακαλῶ σε νὰ μὴν ἀπ,τύχωμεν τῆς αἰτήσεως διὰ τὸν παπᾶν Γαβριήλ.

† ΣΥΜΕΩΝ ἱερομόναχος

καὶ σὸς κατὰ πάντα καὶ ἐφημέριος τῆς Ἐπισκοπῆς Ἄνδρου.

Εἰς τὶ ὁρίζεις ἀφ' ἡμῶν, γράψον ἡμῖν, ὡς κατὰ πάντα σου ἴδιον καὶ μετὰ περιχαρίας ἐπιτελεῖται. Τὸν Κώνσταν ἐν Κυρίῳ Ἰησοῦ Χριστῷ ἀσπάζομαι.

ΕΠΙΣΟΛΗ ΝΙΚΑΝΟΡΟΣ ΠΡΟΣ ΖΥΓΟΜΑΛΑΝ

Τῷ ἐντιμοτάτῳ καὶ εὐγενεστάτῳ καὶ λογιωτάτῳ ἄρχῳ κυρίῳ Θεοδοσίῳ καὶ πρωτονοταρίῳ τῆς Μεγάλης Ἐκκλησίας δοθείη.

† Ἐντιμότατε, εὐγενέστατε, λογιώτατε ἄρχω κύριε Θεοδόσιε, καὶ μέγα πρωτονοτάριε τῆς τοῦ Χριστοῦ καὶ Θεοῦ Μεγάλης Ἐκκλησίας καὶ υἱέ κατὰ πνεῦμα ποθεινότατε τῆς ἐμῆς ταπεινότητος, χάρις εἴη σοι, εἰρήνη καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος. Εὔχομαι τῷ παντεπόπτῃ καὶ δοτῆρι Θεῷ, ἵνα ἐσαεὶ εἴης ἐν ὑγείᾳ καὶ καλοκαγαθίᾳ, σὺν πάσῃ σου τῇ οἰκίᾳ. Τοίνυν γνωστὸν ἔστω σοι, ὅπως τὴν δωρεὰν καὶ τὴν εὐεργεσίαν, ἣν ἀπέστειλας ἡμῖν, ἐλάβομεν, καὶ λίαν εὐχαριστοῦμεν, καὶ οὐκ ὀλίγας χάριτας ἔχομέν σοι περὶ τούτου· ὅπως ἡ σὴ αὐθεντία εἰς ἡμᾶς δωρεὰς ἀποστέλλεις, καὶ ἡμεῖς οὐ δυνάμεθα τὴν σὴν ἀνταμοιβὴν ἐκπληρῶσαι· διότι ἕνεκα τῶν σκανδάλων καὶ πολλῶν ἐναντίων τῶν συμβεβηκότων ἡμῖν, οὐκ ἠμπροῦμεν κἂν τοὺς ἡμετέρους καὶ γνησίους φίλους ἡμῶν κατὰ τὸ δίκαιον εὐχαριστῆσαι. Νῦν δὲ γνώρισον, ὅπως ἡ κασελοπούλα, ἣν ἔγραψες ἡμῖν, γίνεται καὶ

μὴ λυπεῖσαι περὶ τῆς βραδύτης, ὅτι καὶ ἡμεῖς εἰς μεγάλην περίστασιν ἕνεκα τούτων ἐσμέν, ὅτι ἡ ἀκρίβεια τῶν μαστόρων, τῶν ἐνταῦθα ἐπιχειρησάντων, ταῦτα κατεργάζεται, ἀμή, ὁπόταν σὺν Θεῷ ἡ ἐλαῖς καὶ τὸ ἔλαιον γενήσεται, τότε θέλομεν ἀποστεῖλαι καὶ ἐκπληρῶσαι τὴν ἀνταμοιβήν, ἣν ἐποίησας εἰς ἡμᾶς καὶ εἰς ὀλίγον καιρὸν θέλομεν ἀποστείλει καὶ τὴν κασέλαν· μόνον μὴ γείνου ἀμνήμων εἰς ἡμᾶς καὶ ἡ ἀγάπη καὶ ἡ φιλία, ἣν ἔχομεν ἀνὰ μεταξύ, ἔστω στερεωμένη καὶ ἀπαρασάλευτος, καὶ πάντα ἔσο ἀρωγός, καὶ στερρὸς εἰς τὰς ἡμετέρας χρείας, καὶ εἰς τοὺς ἡμετέρους πολεμίους ἐναντίος φάνει κατὰ τὸ δυνατόν σοι, καὶ ἡμεῖς εἰς ὅ,τι μᾶς ὡρίσεις, ἐκπληρωταὶ ἀόκνως γενόμεθα τῶν σῶν θελημάτων. Καὶ ταῦτα μὲν οὕτως, ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μεθ' ὑμῶν.

† Ἀθηνῶν ΝΙΚΑΝΩΡ.
καὶ σὸς κατὰ πάντα.

ΕΤΕΡΑ ΕΠΙΣΤΟΛΗ ΝΙΚΑΝΟΡΟΣ ΠΡΟΣ ΖΥΓΟΜΑΛΑΝ

† Ἐντιμότατε, εὐγενέστατε, λογιώτατε, κύριε Θεοδόσιε καὶ μέγα πρωτονοτάριε τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας καὶ υἱὲ κατὰ πνεῦμα τῆς ἡμῶν ταπεινότητος, χάρις εἴη σοι εἰρήνη καὶ ἔλεος, ἀπὸ Θεοῦ Παντοκράτορος. Ἀντιβολοῦμεν τὴν αὐθεντίαν σου, ἵνα συνδρομήσῃς διὰ τοῦ Νικολάου τοῦ Καβαλαρίου τοῦ υἱοῦ τὴν ὑπόθεσιν, ὅτι πολλὰ ἐπασχίσαμεν νὰ εἰρηνεύσῃ μὲ τὴν γυναῖκα αὐτοῦ καὶ οὐδ' ὅλως ὑπόσχεται, καὶ εὑρίσκονται πάμπολα σκάνδαλα ἀναμεταξὺ αὐτῶν, ὅπως αὐτὴ ἡ γυνὴ αὐτοῦ πορευθεῖσα πᾶσαν τὴν προῖκαν καὶ τὴν προγαμιαίαν δωρεὰν ἐξωτερικῶς ἔλαβε· νῦν δὲ ἑπταετία ἐστὶ καὶ οὐ βούλονται εἰρηνοποιῆσαι καὶ εἰς τοῦτο γράφομέν σοι, ἵνα ἀναγκάσῃς ὅπως γείνῃ ἔλεος εἰς αὐτῶν, καὶ ἀναπαυθοῦμεν καὶ ἡμεῖς ἐκ τῶν πολλῶν σκανδάλων αὐτῶν. Καὶ ταῦτα μὲν οὕτως, ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μεθ' ὑμῶν.

† Ἀθηνῶν ΝΙΚΑΝΩΡ
καὶ σὸς κατὰ πάντα.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΟΘΕΗΣ ΜΟΝΑΧΗΣ[1]

ΠΡΟΣ ΙΕΡΑΚΑ ΤΟΝ ΜΕΓΑΝ ΛΟΓΟΘΕΤΗΝ

Σωρὸς ἀγαθῶν ὤφθης ἡμῖν, καθά που παροιμία φησίν· ἤδη γὰρ ἐνιαυτὸς ἦν, ὅτ' ἤλυθες εἰς πόλιν τοῦ Κέκροπος ἐκ τῆς βασιλευούσης· τότε δὴ κατ' ἐμοῦ σφόδρα ἐλύττησαν Ἀττικοί, μάτην σπουδάσαντες οὓς ἐξουδένωσας ὡς εὐήθεις καὶ ὀνηλάτας καὶ πρὸς κέντρα λακτίζοντας· τό τε φρύαγμα αὐτῶν ἀνδρείως κατέβαλες, ὡς ὁ Δαβὶδ τὸν ἀλλόφυλον, ὡς δὲ κανθάρους ἐρράπισας τῇ πτέρυγι τοῦ λόγου καὶ φυγάδες ᾤχοντο ἐκ τῆς θέας σου, λογιώτατε· εἶπας γάρ, εἶπας δίκην ἐμήν, ἐβούλοντο γὰρ οἱ μάταιοι τὸν ἄριστον νικῆσαι μὴ εἰδότες ἐκεῖνο τὸ παροιμιῶδες ῥητόν, *ἀετὸς ἐν νεφέλαις ἱπτάμενος*· εἴπω σοι παροιμίαν, θεσπέσιε· δικάζεσθαι Βίαντος κρείσσων, καὶ δικαιώτερος τρυτάνης· πρὸς δὲ τοσούτοις καλοῖς, ποία σοι ἀμοιβὴ πρὸς ἐμοῦ ἀξία γενήσεται; εὐχὴ μοί ἐστιν ἐκτενὴς πρὸς Θεὸν ὑπὲρ σοῦ, καίπερ ἀναξίᾳ οὔσῃ, ἵν' ὑγιαίνῃς τῷ ἔσω ἀνθρώπῳ σὺν τῷ ἔξω, τῆς θείας του χάριτος ἀεὶ ἐνεργούσης καὶ ἅπαν ἀβούλητον τιθεμένης ἀτέλεστον· χαίρω μὲν ἐπὶ τῇ σῇ ἀγάπῃ, ἧς οὐδὲν ἂν ἐν ἐμοὶ γένοιτο ἱερώτερον, λυποῦμαι δὲ λίαν, ὅτι ἐπὶ μακρὸν ἤδη καιρὸν στεροῦμαι τῆς χρυσῆς σου ψυχῆς καὶ τῶν ἀδόλων ἠθῶν, ἀλλ' εὔχομαι τυχεῖν τοῦ ποθουμένου, ὃ δοίη ποτὲ Χριστός, καὶ ἴδοιμί σε, καὶ καταπολαύσαιμι τῆς ἡδίστης σου ὁμιλίας καὶ τερψιθύμου, καὶ ἐμοὶ δηλώσαις τινὰ κρύφια καὶ μυστηριώδη ἐκ τῆς θείας Γραφῆς, ἃ ποθῶ ἐρωτῆσαι τὴν σὴν ἀγχίνοιαν.

Ἀβουλίᾳ φερόμενοι Ἀττικοὶ οὐκ οἴδασι διάκρισιν καλοῦ τε καὶ κακοῦ· διὸ τὰς μὲν ἀρετὰς μισοῦσι, τὰς δὲ κακίας φιλοῦσι· *τοῖς γὰρ ἀνοήτοις ἐπίμεμπτα καλά*, φησί πού τις τῶν σοφῶν· διὰ τοῦτο οὖν καὶ αὐτὴ σιωπῶ πολλὰς ὕβρεις ἀκούουσα, ὡς ἤχους θαλάττης κλύδωνι μαινομένης· ἀλλ' ἔγωγε τὸν ἄνω δέχομαι Κριτήν, ὅστις οἶδε τὰ φαῦλα ἐντελῆ ἀποδώσειν· οὐχ' ὡς νομίζουσιν οὗτοι, αὐτοί ἐσμεν, ἀλλ' ὡς οἶδεν ὁ τῶν κρυπτῶν γνώστης Κύριος, καὶ ὁ ἀλάθητος αὐτοῦ καὶ παντέφορος ὀφθαλμός· ναὶ μὰ τὸν *ἀμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν παγὰν ἀενάου φωτός*· εἰ δὲ καὶ μαρτύρων χρεία, οὐκ Ἀθηναῖοι στήσονται, ἀγοραῖον γένος, ἀχρεῖον καὶ ἄτιμον· τοῦτο δὴ τὸ γένος ἀβούλευτον, ἀνόσιον, ἀναίσχυντον, βδελυρόν, ἀπονενοημένον, τὸ στόμα

[1] Περὶ τῆς ἐπιστολῆς ταύτης, καὶ κατὰ πόσον δύναται νὰ θεωρηθῇ τῆς Φιλοθέης ἴδε Ἱστορίαν τῶν Ἀθηναίων

εὔλυτον ἔχον πρὸς λοιδορίαν, μεμψίμοιρον καὶ καρδαμογλύφον, βαρβαρόφωνον, φιλαίτιον, φιλοτάραχον, μικρολόγον, μικρόψυχον, στωμύλον, ὑπερφίαλον, ἀθέμιστον, δολερόν, περίεργον, ἄγρυπνον ἐπὶ συμφοραῖς ἑτέρων· καὶ γὰρ τί ἄλλο εἰπεῖν, ἐξ αὐτῆς τῆς νεότητος διῶκον ἡμιόνους καὶ αὐτῶν ἐπιμελούμενον, κατὰ τὸν Ἰδουμαῖον Δωήκ, ὃν ἀρᾶται Δαβὶδ ἐν να΄ ψαλμῷ; Πῶς δὲ οὗτοι ὀρθὰ νοήσουσιν; ὧν γὰρ τὸ ἔργον βάρβαρον, τούτων καὶ ἡ γνώμη βάρβαρος· οὐδαμῶς οὗτοι τῆς δίκης μάρτυρες στήσονται, ἀλλ' ἔντιμοι ἄνδρες, ἢ ἐλλόγιμοι συνιέντες ἀλήθειαν. Νηλέες ἄνωθεν Ἀττικοί, οἳ τοὺς ἀρίστους ἀπώλεσαν. Σωκράτης ἀδίκως ἀπέθανε συκοφαντηθεὶς ὑπ' αὐτῶν, καὶ Θεμιστοκλῆς ὁ τὴν Ἑλλάδα ἐλευθερώσας ἐξηλάθη, καὶ Μιλτιάδης γέρων ὢν καὶ ἐν δεσμωτηρίῳ ἀπέθανε. Τοιοῦτοι πολλάκις Ἀττικοί.

Τὴν πρός ἐμέ σοῦ εὐσπλαγχνίαν τεθεαμένη, θαρρήσασα ἔγγραψα ὡς φιλτάτῳ μοι πατρὶ κατὰ τῶν ἀλαζόνων

Βοήθει τοῖς ἐξ ἡμῶν αὐτόθι παραγενομένοις κοινοῖς φίλοις σοί τε κἀμοί.

Μαΐου ἱσταμένου.

ΦΙΛΟΘΕΟΣ μοναχή.

ΠΑΧΩΜΙΟΥ ΡΟΥΣΑΝΟΥ ΜΟΝΑΧΟΥ ΕΠΙΣΤΟΛΑΙ

Λαυρεντίῳ Ἀθηνῶν ποδαλγοῦντι.

Ὁ μὲν λυρικὸς Πίνδαρος παρηγορῶν ἅμα καὶ ἐκθειάζων τὸν Συρακούσιον Ἱέρωνα ὑπὸ τοῦ τῆς δυσουρίας δριμυτάτου πάθους πιεζόμενον, πολλὰς δὲ καὶ οὕτω νίκας κατορθοῦντα, τὸν παρὰ ποιηταῖς ὑμνούμενον Φιλοκτήτην παρήγαγεν ἐκ τοῦ δρακοντίου δήγματος τῷ ποδὶ πάσχοντα, οὗ τοῖς Ἡρακλείοις τόξοις ἑάλω τὸ Ἴλιον. Λουκιανὸς δ' ὁ Σαμοσατεὺς Κυϊντίλλῳ εὐθυμίαν τινὰ οἰόμενος χαρίζεσθαι τοὺς μακροβίους κατέγραψε καὶ ἄλλοι ἄλλως γεγράφασί τε καὶ γράφουσι, κολακεύοντες τοὺς ὑπερέχοντας. Ποία γὰρ ἐκ τούτων ὄνησις, εἰ μὴ ὅτι καὶ μᾶλλον ἀθυμία μοι προσγίνεται· ὡς τοιοῦτοι ὄντες οἱ παραδειγματιζόμενοι, οὐκ ἠδυνήθησαν ἀλύξαι τὸν πεπρωμένον αὐτοῖς μόρον. Ἐγὼ δὲ καίτοι ἔχων τούτων θαυμασιώτερα καὶ ἐνδοξότερα παραδείγματα ἐκ τῆς καθ ἡμᾶς σεβασμίας Γραφῆς, οἰκειότατα τῇ σῇ ἀρετῇ, οὐδὲν τόγε νῦν ἔχον ἔδοξέ μοι εἰς μέσον ἀγαγεῖν· ἃ δὲ παρὰ

τῶν Ἀσκληπιαδῶν συνέλεξα ὥς μοι δοκεῖ χρησιμώτατα ῥησ ίδια εἰς θεραπείαν τῆς κατεχούσης σε δεινῆς, καὶ ἀτεράμνου ἀλγηδόνος ἐν τόμῳ ἰδίῳ χαράξας, ἐνθαδὶ θείς, συνέπτυξά τε καὶ ἤδη ἀποστέλλω· ἀλλ' ὥς περ ἐξ εὐνοίας τοῦτο πρὸς ἴασιν τοῦ χρωτός, οὕτω δῆτα καὶ ψυχῆς ῥῶσιν τὴν σὴν εὐφυΐαν, νὴ τὴν ἡμετέραν σωτηρίαν ὑπομιμνήσκων, οὐ διορθούμενος ἐρῶ, ὥσπερ Ἰσαὰκ ἄλλοτε τὸν πατέρα εἰς μνήμην ἄγων τοῦ ὁλοκαρπώματος, καὶ Ἰωσὴφ τὸν Ἰακὼϐ περὶ τὴν εὐλογίαν τῶν ἐγγόνων. Διὸ μή σοι φορτικὰ δόξειε τὰ ῥηθησόμενα. Τί δέ ἐστιν ὅ φημι ; ὅτι εἰ μὲν προσμενεῖς ἐν τῷδε τῷ ὄρει, εὖ ἂν ἔχοι· εἰ δέ γε εἰς Ἀττικὴν ἐπανήξεις, μὴ ἀμελήσῃς τῆς μονῆς, ἧς ἦρξω τὴν καταϐολήν, ἔχων καλὸν συνεργάτην τὸν ἱερώτανον Γρηγόριον.Οὕτως ἀντιϐολῶ, ἵν ἐκ Θεοῦ καὶ ἀνθρώπων ἕξεις τὸν αΐδιον ἔπαινον ὡς καλὸς οἰκονόμος,καὶ μὴ ὅμοιόν τι πάθῃς τοῦ ἄρξαντος τὸν εὐαγγελικὸν πύργον οἰκοδομεῖν καὶ τελειῶσαι μὴ ἐξισχύσαντος, μηδὲ τοὺς νοητούς τε καὶ αἰσθητοὺς φορολόγους εὕρῃς μετὰ θάνατον διὰ τὰ σὰ ὀχλοῦντας τὴν ἄνοδον. Ἰδοὺ ἡ τελευταία ὥρα συντέμνει· μὴ ἀναϐάλλου λοιπόν· ἕως τὸ φῶς ἀκμὴν πάρεστι, περιπατεῖν δεῖ, πρὶν ἢ κλεισθῆναι τὴν τοῦ νυμφῶνος θύραν. Ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον· τὸ γὰρ πρὸς σοφὸν πολυλογεῖν μωρολογεῖν ἄντικρυς.

Καλλίστῳ νεωστὶ χειροτονηθέντι Ἀθηνῶν ὡς ἐκ τοῦ προεστῶτος.

Ἴσθ' ὅτι βαρὺ ἡμῖν κατεφάνη ὅτι ἐγγὺς ἡμῶν κατὰ τὴν πάροδον γενόμενος, οὐκ ἀπέκλινας πρὸς ἡμᾶς· ἅμα μὲν εὐλογίας τῆς σῆς μεταδιδόναι καὶ λόγου κοινωνῆσαι ἡμῖν· ἀλλὰ τῆς μέν, ἐλπίζομεν καὶ ἀπόντος σοῦ ἀξιωθῆναι, συμπαρόντος τῷ πνεύματι. Λόγου δὲ οὐκ ἂν ἡμεῖς ὀκνήσομεν ἀμείψασθαι καὶ οὕτω τῷ τῷ καιρῷ προσήκοντι, δηλαδὴ τῷ τῆς Ἐπισκοπῆς· ὥσπερ γὰρ ὁ πρὸς παράταξιν εὐτρεπιζόμενος στρατηγὸς μᾶλλον λόγου δεῖται καὶ συμϐουλῆς, καὶ μᾶλλον τῆς ἐκ τῶν γεραιτέρων, οὕτω κἀνταῦθα καὶ ἡ σή μοι δοκεῖ ἁγιότης οὐκ ἀποκρούσεις συμϐουλεύοντα καὶ μάλιστα φίλον· ἀλλὰ τὸν λόγον τέως ἐάσωμεν, σκεψάμενοι πρῶτον τί ἂν εἴη Ἐπίσκοπος καὶ τί Ἐπισκοπή. Οὕτω γὰρ ἂν ἐκ τῆς τούτων σαφηνείας εἰσόμεθα τὸ ἀκόλουθον· καὶ Ἐπίσκοπος μὲν ἐστιν ἄρχων· Φύλαξ, ἐπόπτης. Ἐπισκοπὴ δέ, ἡ τούτου ἐνέργεια ἤγουν ἡ ἄποψις καὶ ἡ πρόνοια· διὸ καὶ σκοπιαὶ οἱ ὑψηλοὶ τόποι καλοῦνται· ἀφ' ὧν δηλαδὴ ἔνεστιν ἰδεῖν καὶ περισκέψασθαι· διά τοι τοῦτον ὁ Ἀπόστολος πρὸς Τιμόθεον ἐπιστολῇ οὐκ εἶπεν, εἴτις ἐξουσίας ὀρέγηται, καλοῦ ἔργου ἐπιθυμεῖ· ἐνδέχεται γὰρ πολλάκις

τῇ ἐξουσίᾳ κακῶς χρήσασθαί τινα, ἀλλ' εἴτις ἐπισκοπῆς, ἤτοι αὐτοῦ τοῦ ἔργου ὅπερ καὶ ἰδιώτης πολλάκις πληροῖ· καθάπου καὶ ὁ μέγας ἐκεῖνος Μωϋσῆς. Ἐξελθὼν γὰρ εἰς ἐπίσκεψιν τῶν ἀδελφῶν αὐτοῦ, τὸν μὲν Αἰγύπτιον ἐπάταξε τύπτοντα τὸν Ἰσραηλίτην· ἤλεγξε δὲ τὸν μαχόμενον τῷ ὁμοφύλῳ. Καίτοι μετὰ ταῦτα προχειριζόμενος εἰς ἐπίσκεψιν τῶν ἀδελφῶν παρῃτεῖτο, εἰδὼς ὅτι τὸν ἐξουσίαν τινὸς ἐπιλαβόμενον, δεῖ κατὰ πάντα ἀνεπίληπτον εἶναι, ὡς λόγον ἀποδώσοντα ὑπὲρ τῶν ὑπηκόων· ὅτι δ' οὕτως ἔχει, οἴκοθεν ὁ μάρτυς. Αὐτὸς γὰρ ὁ Μωϋσῆς μετὰ δισταγμοῦ πλήξας τὴν πέτραν διὰ τὸ ὕδωρ οὐ συνεχωρήθη ἀφικέσθαι εἰς τὴν γῆν τῆς Ἐπαγγελίας· ταχ' ὡς εἰρήκειν, ἐννοήσας ὃ ἔμελλον εἰπεῖν.

Φιλίππῳ Καλλιγράφῳ·

Εἰς παντα καιρὸν ὁ φίλος ὑπαρχέτω σοι, φησὶν ὁ παροιμιαστής· καὶ αὖθις φίλον σὸν καὶ φίλον πατρῷον μὴ ἐγκαταλίπῃς, καὶ μάλα εἰκότως. Οὐδὲ γὰρ θέμις· ἐν ἱλαροῖς μὲν κτᾶσθαι τὸν φίλον· ἐν δυσχερέσι δ' ἀπαναίνεσθαι, οὐδ' ἂν εἴτι γένοιτο εἰ καὶ μέχρι ψυχῆς ἐστιν ὁ κίνδυνος. Τοῦτο γὰρ ἄκρας φιλίας γνώρισμα· τὸ δ' ἄλλως ἔχον, κολακεία καλεῖτ' ἂν μᾶλλον, ὡς καὶ ἔστιν, ἢ ἀβεβαίου καὶ ῥαθύμου ψυχῆς κύημα. Τί γὰρ ἂν εἴη τ' ἀντάλλαγμα τοῦ πιστοῦ φίλου, τοῦ δεδοκιμασμένου ὑπὲρ χρυσίον κατὰ Θεὸν γιγνομένου, τοῦ ὁμοψύχου συντόμως εἰπεῖν, ὃν οὐ τράπεζα ἀβροτέρως ἐπόρισεν, ἀλλ' ἀνάγκη καὶ παλαιὰ συνήθεια; Περὶ οὗ φησιν ὁ Κύριος· «μείζονα ταύ»της ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν »φίλων αὐτοῦ· ὑμεῖς φίλοι μοι ἐστέ, ἐὰν ποιῆται ὅσα ἐντέλλομαι ὑμῖν· »οὐκέτι ὑμᾶς λέγω δούλους· ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ ὁ κύριος »αὐτοῦ. Ὑμᾶς δὲ εἴρηκα φίλους μου, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ »Πατρός μου ἐγνώρισα ὑμῖν» Ὅθεν ἔδοξε κἀμοί, εἰ καὶ ἄλλοτε συνεβούλευσά σοι καὶ πολλάκις διὰ τὴν ἀρετήν, λέγω τὴν μοναχικήν, ἣν καὶ αὐτὸς πέπεισμαι ὅτι ἠγάπησας, καὶ ἀγαπᾶς, οὐ μόνον δέ, ἀλλὰ καὶ τοὺς ἀγαπῶντας αὐτήν· ἀλλὰ καὶ νῦν, οὐδὲν τὸ κωλύον διὰ χάρτου καὶ μέλανος ἐνσημῆναί σοι, ὦ ἀδελφῶν ἄριστε, ὅπερ φιλίας δεῖγμα καὶ πνευματικὸς σύνδεσμος, τὸ ταὐτὰ βούλεσθαι τοὺς φιλουμένους καὶ ἑκατέρους εἰς ἓν ἔρχεσθαι, τῇ ἀλλήλων παραθήξει τε καὶ συνενέσει. Τί οὖν ὅ φημι; μή σε νικήσῃ τι τοῦ παρόντος αἰῶνος, ὧν περιφρονεῖν ἐδιδάχθημεν διὰ τὴν μέλλουσαν ἀπόλαυσιν, μήδ' ἀναβάλλου ἡμέραν ἐξ ἡμέρας τὸ ὑπελθεῖν τὸ τῶν ἀβίων σχῆμα. *(Εἰς τὸ περιθώριον)*—ἄβιοι οἱ μοναχοὶ διὰ τὸ ἀκοινώνητον τε καὶ

ἀδιάδον.—Οἶδας γὰρ ἐξ ὧν ἐπειράθης οἷά σοι ἡ τοσαύτη ἀναβολὴ προὐξένησε. Φησὶ γὰρ Ἱερεμίας· τάδε λέγει Κύριος· «Ἐμνήσθην »ἐλέους νεότητός σου καὶ ἀγάπης τελειώσεώς σου, τοῦ ἐξακολουθῆ- »σαί σε τῷ ἁγίῳ Ἰσραήλ...» Καὶ ὁ Ἐκκλησιαστής· «μνήσθητι τοῦ »κτίσαντός σε ἐν ἡμέρᾳ νεότητός σου, ἕως οὗ μὴ ἔλθωσιν ἡμέραι τῆς «κακίας, καὶ φθάσωσιν ἔτη οἷς ἐρεῖς· οὐκ ἔστι μοι θέλημα ἐν αὐ- «τοῖς» Τί περεμένεις τοῦ σχήματος αἴτιον γενέσθαί σοι τὸν θάνατον καὶ μὴ τὴν ἰδίαν πρόθεσιν; τί τὸ κωλῦον; ποία παίδων ἢ γυναικὸς ἀνάγκη; Οὐχ ὁδοῦ μῆκος, οὐκ ἔνδεια χρημάτων· ἐργόχειρον οἶδας τὸ ἀναγκαιότατον μοναχῷ καὶ τῇ ἐκκλησίᾳ· ἀλλὰ τί; φοβεῖ τὸν ἐλαφρότατον ἄρα τοῦ Χριστοῦ ζυγόν; ἀλλ' ἀγώνων ἐστὶν ὁ παρὼν καιρός· ὁ δὲ μέλλων ἀνταποδόσεως. Τί δὲ οὐχὶ καὶ κοσμηκόν σε μένοντα τὸ αὐτὸ δεῖ ποιεῖν; μὴ γὰρ πρὸς μοναχοὺς μόνους τὰ θεῖα ἐντάλματα; ἄπαγε· εἰ δὲ ἐν τῷ λιμένι τῆς μοναχικῆς καταστάσεως δέδοικας μήπως οὐ κατορθώσῃς ταῦτα, πῶς ἐν τῇ ζάλῃ τοῦ βιωτικοῦ θορύβου τοῦτο σοι ἔσται ἀκίνδυνον; Οὐχί καὶ ἕτερον δέδοικας; μήπως εὑρεθείης περιφρονῶν τὸ ἀγγελικὸν σχῆμα, καὶ παίζων ἐν οὐ παικτοῖς, ὅτι μὲν ὑπέσχου Θεῷ καὶ ἀνθρώποις μονάσαι, εἶτ' ἄποδος πατεῖς; οὐκ οἶδας τοὺς οὕτω μὴ ἀποδιδόντας αὐτῶν τὰς εὐχὰς τῷ Κυρίῳ οἷα πεπόνθασι; μὴ γὰρ ἐν τῇ σῇ ἐξουσίᾳ κεῖται ποιεῖν ἅπαντα τὰ δοξαζόμενα; Ταῦτα οὐκ ὀνειδιστικῶς σοι προσφέρω ὁ λέγων καὶ μηδὲν ποιῶν· οἶδα γὰρ ὅτι τὰ αὐτὰ βούλει καὶ αὐτός, ἅπερ ἐγώ· ἀλλ' ἐκκόπτων σοι πᾶσαν ἀναβολῆς πρόφασιν. Ἀλλ' ἐπεὶ καὶ τόπου χρεία ἐπιτηδείου εἰς ἄσκησιν, οὐκ ἔστιν ἕτερος μᾶλλον οὗ νῦν παροικοῦμεν, καὶ μᾶλλον διὰ σέ, λέγω δὴ τοῦ ἁγιωνύμου Ὄρους Ἄθω Ἐκτὸς δὲ τούτου, πολλοὶ καὶ διάφοροι ἔχοντες τοὺς ἀντιποιουμένους τῆς ἀρετῆς, δι' ἡσυχίαν δὲ καὶ τὴν τῶν ἀναγκαίων χρείαν εἰσὶν μὲν καὶ ἐν Εὐβοίᾳ καὶ ἑτέροις νήσοις· οἶμαι δὲ κατὰ πάντων ἔχειν τούτων τὸ νῖκος τὴν τοῦ Ἁγίου Μελετίου μονήν, καὶ τὰ περὶ αὐτήν, οὖσαν ἐν μεθορίοις Ἀττικῆς τε καὶ Βοιωτίας, ἔχουσαν δὲ πόλεις ἀξιολόγους οὐκ ἄποθεν: Ἀθήνας φημι καὶ Θήβας, Χαλκίδα τε τὴν κατ' Εὔριπον, Μέγαρά τε καὶ Κόρινθον. Ἠπειρῶτις δὲ ἐστίν· οὐκ ἀπορεῖ δὲ κόλπων εὐθαλασσίων· τῶν τε ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ Πελοποννησιακοῦ ἰσθμοῦ καὶ καὶ τοῦ Εὐρίπου· εἰ οὖν βούλει καὶ ταύτην ἰδεῖν εὐχερές σοι κατὰ τὴν πάροδον οὖσαν. Ἐγὼ δὲ ἐνταῦθα πειρῶμαι ἐναπομεῖναι. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πάντα ὡς οἶδεν εὖ διαθείη, καὶ συνάψοι ἡμᾶς καλῶς τῇ αὐτοῦ χάριτι.

ΕΠΙΣΤΟΛΑΙ ΜΑΞΙΜΟΥ ΜΑΡΓΟΥΝΙΟΥ

Τῷ πανιερωτάτῳ καὶ λογιωτάτῳ Μητροπολίτῃ Ἀθηνῶν κυρίῳ Νεοφύτῳ, Μάξιμος εὖ πράττειν.

(Ἀνέκδοτος)

Οὐ δύναταί φασι, πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ τὸ σὸν κατὰ Θεὸν πολίτευμα, καὶ ἡ τῶν ἀρετῶν ἀκρίβεια, ὑπεραρθεῖσα μὲν τῶν γηίνων τῶνδε καὶ χαμερπῶν, βάσιν δὲ ὥσπερ ποιησαμένη τὸν οὐρανόν, καὶ οἷά τις λύχνος φωτοειδὴς ἐκεῖθεν μὲν τὰ τελειώτερα ἐκλαμπόμενος, τῇ δὲ νοητῇ λυχνίᾳ δᾳδουχῶν καὶ διαπορθμεύων τὰς ἐνούσας μαρμαρυγάς· δεδόσθω μοι καὶ τοῦτο φᾶναι, ἐπὶ τῆς αὐτῆς μένοντι ὁμοιώσεως. Κατάστερος εἶ οὐρανός, οἷά τισι μεγάλοις φωστῆρσιν, ἐντεῦθεν μὲν τῷ θεωρίας ἡλιοειδεῖ, ἐκεῖθεν δὲ τῇ σεληναίᾳ πράξει καταστραπτόμενος, καὶ γίγνῃ τῇ προαιρέσει οἷόν τις θρόνος νοητὸς τοῦ Θεοῦ, ἐν ᾧ ἐνοικεῖ τε καὶ ἐμπεριπατεῖ, κατὰ τὸ λόγιον ὁ παμβασιλεύς. Ἐγὼ μὲν οὖν, ἵνα μὴ δόξω πρὸς χάριν σοι διαλέγεσθαι, οὐ περαιτέρω τὴν γραφίδα τό γ' ἐπὶ τούτοις παρεκτενῶ, σὺ δ', ὦ θεία μοι καὶ ἱερωτάτη ψυχή, ἄγε καὶ πρὸς ἡμᾶς τῇ ἀγάπῃ ἀναπτερώθητι καὶ δὸς ἡμῖν ἐμφιλοχωρῆσαί σου καὶ μᾶλλον ταῖς τῆς ψυχῆς ἀρεταῖς, τῇ τῶν πρὸς ἡμᾶς συγγραμμάτων ἀφορμῇ. Ἡμεῖς μὲν γὰρ καὶ διὰ ταύτας αὐτὰς σύνισμεν ἑαυτοῖς ὅ[τι] μάλιστα εὐλαβῶς πρὸς τὴν σὴν ἱερότητα ἔχουσι, καὶ ὅτι τῷ τὰ πάντα ἁγιωτάτῳ δεσπότῃ τῷ Ἀλεξανδρείας συνῆπται φιλικῶς, ὃν ἐγὼ ἐκεῖθεν ἔτι ἐξ ἁπαλῶν ὀνύχων ἐν τοῖς μάλιστά μοι οἰκείως ἔχουσι συνηρίθμηκα, καὶ τό γε νῦν εἶναι διὰ τὴν ἄκραν πρὸς τὸ θεῖον ἐξομοίωσιν τῆς ἱερωτάτης ἐκείνης ψυχῆς, καὶ δι' αἰδοῦς ἔχω τῆς μεγίστης, καὶ δι' ἀγάπης. Κανὼν δέ τις ἱερᾶς γεωμετρίας διορίζεται, τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις δεῖν εἶναι ἴση. Καὶ γοῦν ἐπειδὴ ἐκείνῳ ἅμ' ἡνώμεθον, καὶ μεταξὺ νῷν ἡνῶσθαι ἄρα καὶ πάνυ ἀκόλουθον. Ἐγὼ μὲν οὖν σύνοιδα, ἱερώτατε δέσποτα, δίκαιος ἂν εἴης ταῖς αὐτοῖς φίλτροις ἀμείβεσθαι τὸν οὕτω περὶ σὲ διακαῶς ἔχοντα. Ἵνα δὲ καί τινα προσθήκης ἀφορμὴν σφοίη ὁ πρόσφατος ἐν ἡμῖν θεῖος ἔρως, οὐκ ἂν φθάνοις καὶ δεῖγμά τι τῶν ἐκτὸς ἡμᾶς ἀπαιτῶν; δείκνυται γάρ πως κατὰ δεύτερον λόγον καὶ ἐκ [τῶν] ἔξω ἡ ἔνδον τῆς ψυχῆς διαθεσις. Καὶ ἵνα πρῶτον παρ' ἡμῶν σχοίη τὴν ἀφορμὴν ἡ περὶ τὰ τοιαῦτα ὁρμή, τὴν σὴν παρακαλοῦμεν ἱερότητα χαριζομένην ἡμῖν ὀργάνῳ τινὶ χρήσασθαι ἐπιτηδείῳ πρὸς τὴν τῶν αὐτόθι

σποράδην εὑρισκομένων λόγων ἀπογραφὴν τῶν ἱερῶν. Τί γὰρ ἂν τοῖς περὶ λόγους τοὺς ἱεροὺς αὐτῶν τούτων γένοιτο αἱρετώτερον; ἡμεῖς δὲ καὶ αὐτοὶ ἀντιστρόφως ἐξυπηρετήσωμέν σου τῇ ἱερότητι, ἐφ' οἷς ἂν ἡμᾶς δυνατῶς ἔχειν ἡγήσατο, ταυτὶ διαπράξασθαι. Τοῦτ' οὖν, ναὶ πρὸς τῆς νῦν πρῶτον μεταξὺ νῷν ἱερᾶς συνισταμένης φιλίας, καὶ ἀντεπιστέλλοις τῶν αὐτόθεν ἡκόντων ἡμῖν ἀγωγίμων τὸ τιμαλφέστατον. Ἐρρωμένως μοι διαβιῴης ψυχῇ τε καὶ σώματι, πανιερώτατε καὶ σοφώτατε δέσποτα

Ἐνετίηθεν Αὐγούστου η' ἱσταμένου κατὰ αφλζ' ἔτος.

Μαθαναὴλ τῷ Ἐμπόρῳ ὁσιωτάτῳ ἐν ἱεροδιακόνοις, Μάξιμος εὖ πράττειν.

Καθ' ἡδονήν μοι πάνυ τὰ παρὰ σοῦ εὐαγγέλια, καὶ ὅσα μοι ὁ τοῦ εὐγενεστάτου Καγκελαρίου υἱός, πρὸ μικροῦ μοι προσπεφοιτηκώς, διηγήσατο, εἰς μέγα τὸν περὶ σὲ ἀνῆψέ μου ἔρωτα, Ναθαναὴλ ὁσιώτατέ μοι καὶ λογιώτατε. Εἰ μὲν οὖν καί σοι περὶ ἡμᾶς διάθεσις ἐγγίγνεται ἡ αὐτή, οὐκ ἂν φθάνοι, ἡμῖν συγγενόμενος; καὶ γὰρ δώσεις τε ἡμῖν τῶν ὅσων ἐς χρείαν ἥκομεν παρὰ σοῦ, ὅσον ἥκει εἰς χρείαν βιβλίων ἀντιγραφῆς καὶ μικράν τινα ὑπηρεσίαν, ἣν καὶ αὐτῷ σοι ἐκπληροίης, καὶ ἀντιλήψῃ τῶν ὧν ἡμεῖς πρὸς τῆς θείας χάριτος πεφιλοδωρήμεθα τὴν ἐνδεχομένην εὐπορίαν. Αὕτη δ' ἂν εἴη ὅση τε περὶ τοὺς λόγους καὶ φιλοσοφίαν αὐτὴν ἡμῖν περισώζεται δύναμις. Ἀπαιτήσομεν δέ σου τὸ εὔνουν τε καὶ τὰ πάντα πιστόν· δεῖ γὰρ καὶ τοῦτο προσθεῖναι τοῖς πρὸς σὲ γράμμασι διὰ τὸ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις σπάνιον τῆς χρηστῆς προαιρέσεως· ὧν τὰ ἴσα καὶ ἡμεῖς σοι ἀνθυπισχνούμεθα. Ἂν οὖν σοι ἐπὶ τοιαύταις συνθήκαις γνώμη γένηται συμβιοτεῦσαί τε καὶ συμπενητεῦσαι ἡμῖν, ὅτι τάχιστα τοῦ πρὸς ἡμᾶς αὐτόθεν ἀπόπλου ἐπιμελήθητι· εἰ οὖν, μένει ἐπὶ τῆς ἐνεγκαμένης, ᾗ δὴ καὶ μένεις, καί σοι τὸ θεῖον τὰ ὅσα πρὸς ἐκείνου εὐαρέστησιν ἐπιχορηγήσειε καὶ χορηγοίη τὰ κράτιστα. Ἐρρωμένον σε διαφυλάττοι ὁ κύριος ψυχῇ τε καὶ σώματι.

Ἐνετίηθεν, ἐνάτη φθίνοντος Ἰανουαρίου,
κατὰ τὸ αηϟς' ἔτος τὸ σωτήριον

Ναθαναὴλ τῷ Ἐμπόρῳ Μάξιμος.

Παρακατέχει καὶ σέ τί γὰρ φιλῶν οὐκ ἂν εἴποιμι, τὸ κενὸν δοξάριον, καὶ ἡ μαχρὰς ὕβρις, καὶ ὁ δεινὸς τοῦ ὄφεως συριγμός, καὶ τῶν ὅσα τοῦ πονηροῦ τούτου κόμματος, δι' ὧν τὰ τῆς πονηρίας πνεύματα καὶ τῶν δένδρων τὰ βαθεῖαν ἤδη καταλαβόντα τὴν ῥίζαν ἀνασπᾶν τε καὶ ἐκριζοῦν οἶδε προθέλυμνα τῷ σφοδρῷ τοῦ φυσήματος, ἄλλως τε καὶ ἐν μέσοις τοῖς ὑπεκαύμασιν. Ἆρα γὰρ οὐ πρὸς ταῦτα ἡμῖν ἡ πάλη; καὶ τίς οὕτω γενναῖος, πρὸς αὐτῆς τῆς ψυχῆς, τὴν ψυχήν, ὥστε καὶ μέχρι τέλους ἀντιστῆναι, μή τι γε καὶ πρὸς τοσαύτας μηχανάς τε ἀντεχνεύσασθαι, ὅπου γε καὶ Παῦλος αὐτὸς προσεπεδειλίασε καὶ τούτων ἥττων ἐφάνη προφήτης ὁ πάνυ, καὶ ἁλιέων ὁ πρόκριτος; Εἰ γὰρ οἱ ἐν λυμένι κλυδωνιζόμεθα, καὶ μουνονουχὶ καὶ ὑποβρύχιοι τῷ περιόντι τῆς ῥύμης καὶ τῷ τῶν κυμάτων ῥαγδαίως φερόμεθα, τί οὐκ ἂν πάθοιεν οἱ τὰ μεγάλα πελάγη καταθαρροῦντες ἐπὶ τῷ σφῶν κακῷ καὶ πρὸς κῦμα παραβαλλόμενοι καὶ ὑπὲρ ὄρη κορυφούμενον; τοιαῦτα γὰρ τὰ παρ' ἡμῖν, κἂν ὑποκλέπτῃ ἡμῶν τὸ θέλγον τὴν αἴσθησιν· παρίημι τὴν τῶν ἑρπετῶν πληθὺν πάντοθεν κατακεντρίζουσαν, καὶ ταῦτα εἰς θάνατον τὴν ψυχήν, καὶ τὸν παρεμφωλεύοντα δράκοντα πλασθέντα ἐπ' ἀγαθῷ, ἀλλ' οἴκοθεν προκείμενον εἰς ἐμπαιγμόν, ἐμπαίζοντα δὲ μᾶλλον τοῖς μὴ διευλαβουμένοις τὸν κίνδυνον, καὶ τούτου προαρπάζουσιν ἑαυτούς. Προσχωρεῖ τῷ ὄρει καὶ Χριστὸς προσευξόμενος, πρὸς δὲ καὶ πειραζόμενος, τάχα τε μεῖζον, καὶ μυστικώτερον, ὅσα γε ἐμὲ εἰδέναι παιδεύων ἡμᾶς τοῦτο δή, ἵνα καὶ θάλασσαν ἅμα καὶ γῆν ἀποφεύγωμεν, ταύτης τὴν ὕλην, ἐκείνης τὸν τάραχον,. Ἐμφιλοχωρεῖ τοῦτο καὶ Ἠλίας ὁ ζηλωτής, Ἰεζάβελ ἴσως φεύγων τὴν νοητήν, οὐ μόνον τὴν αἰσθητήν, ἐρημοπολίτης ἐξ αὐτῆς σχεδὸν τῆς νηδύος καὶ πρόδρομος γίνεται. Ἤκουσα δέ του ἐγὼ πάνυ καλῶς τὴν ἑαυτοῦ παραινοῦντος ψυχήν, εἰς τὰ ὄρη ταύτην προτρεπομένου σώζεσθαι, οἷα δὴ καὶ βούλει, εἴτε τὰ πρόσγεια ἡμῶν, εἴτε τὰ ὑπὲρ αἴσθησιν, ὧν ὕψος τὸ τῆς ἀρετῆς ὑπερβάλλον, μηδὲν ἐπιφερόμενον γήϊνον. Ἄγε δὴ καὶ αὐτὸς τὴν Αἴγυπτον ἀποδρὰς καὶ ὅσα ταύτης, και τὴν πλίνθον καὶ τὸ ἕτοιμον εἰς καῦσιν ἄχυρον, καὶ τὰς ἐν μέσῃ πόλει διατριβάς, οἷα μυρίων κακῶν ἀφορμάς, ᾗ τάχους ἔχεις πρὸς λιμένα πελάγους ἀσφαλέστερον πρόσδραμε, καὶ ἀναπτερώθητι πρὸς ἡμᾶς, πτέρυγας ἐκείνας λαβὼν περιστερᾶς τῆς τὸ δυσῶδες ἀποφευγούσης, αἳ καὶ προφητικῇ ψυχῇ λίαν ἐπέραστοί ποτε ἐγένοντο πρὸς κατάπαυσιν. Εἶεν δ' ἂν αὗται, κατά

γε τὸν ἐμὸν ὅρον καὶ λόγον, ἡ τῆς ἐν ἡμῖν ξυνωρίδος, ψυχῆς τε καὶ σώματος, διττὴ ἐκ τῶν ἐνόντων καὶ καθαρότητος ἔφεσις, ἣ διὰ τῆς παντελοῦς τῶν γηΐνων ἀναχωρήσεως μετὰ τὴν ἄνωθεν ἐπικουρίαν ἐγγίνεσθαι πέφυκεν. Ἔρρωσο, καὶ προσαγόρευε ἐξ ἡμῶν τοὺς φίλους, καὶ φιλοσόφει τὰ κρείττω καὶ ψυχωφελέσ ερα. Ἐκ τοῦ ἐρημικοῦ μουσολενίου, αφἢη Φεβρουαρίου Βα΄ ἐπὶ Ια΄.

ΤΟΥ ΑΥΤΟΥ ΜΑΞΙΜΟΥ ΜΑΡΓΟΝΙΟΥ ῼΔΗ

Εἰς Ναθαναῆλον ἱεροδιάκονον τὸν ἐξ Ἀθηνῶν ὑποσχόμενον αὐτῷ συμβιοτεῦσαι καὶ ἀραδύνοντα.

Τί Ταντάλου με τήκεις
πικραῖς, ἄριστε, μοίραις,
καί μοι δύσοιστον ἄχθος
κρατὸς κατακρεμάζεις
λίθον, μόρου πορείην
μικροῦ παρεισφέροντα;
καὶ δῖψος ἐν ῥοαῖσι
μελιρρύτοιο κρήνης
ἐπέσχες, οὐκ ἐρῶντος
σοφὲς διδούς τι δεῖγμα;
σοφὸν δέον σε ὄντα
τοὐναντίον περαίνειν·
λίλῳ δέον σε μᾶλλον
φίλα φρονεῖν τε σοῖο,
ὄφλημα δ' ἄλλο πληροῦν
ὑπόσχεσιν βεβαίαν
ἥν μοι παρὼν ὑπέσχου,
ἥν μοι γραφῇ τ' ἔδειξας
σημήϊον καλόν γε
ὄψιν σέθεν ποθοῦντι.
Προσήκει δ' οὐδὲ ἄλλως
τῶν ἀζύγων φρονήσει,
μίμνουσιν οἵ γ' ἐφετμαῖς
Χριστοῖο σωστικαῖσοι,
μίμνουσιν οἱ ἀδελφῶν
εἰλικρινεῖ ἔρωτι.
Κίνησον οὖν σὺ πέτραν,
ἐμοί γε πλὴν βοηθόν·
καὶ νᾶμα δὸς πιεῖν με
γλώττης σέθεν μελιχρᾶς
συνουσίης τ' ἐραστῆς
καὶ ἐς κόρον τρυφῆσαι
Οὕτω φίλος σὺ δόξεις
ἀληθινὸς γενέσθαι·
οὕτω νόμοις ὑπείκειν
τοῖς ταῦτα συγκρατοῦσιν·
εἰ δ' οὔ ἐγὼ σιγήσω,
ἄλλος δέ σοι κραταιῶς
ἐποίσεταί γε μέμψιν
οὐχ ὡς ἐχρῆν φιλοῦντι.

ΑΝΕΚΔΟΤΟΙ ΣΗΜΕΙΩΣΕΙΣ ΠΕΡΙ ΑΘΗΝΩΝ

'Εκ τῶν χειρογράφων τοῦ Κρουσίου τῶν ἐν τῇ βιβλιοθήκῃ Τυβίγγης.

α

('Εκ τοῦ ὑπ' ἀριθμ. MB 37 χειρογράφου· σελ. 99).

Περὶ 'Αθηνῶν. Ἔστιν ἐκεῖ 'Ακρόπολις ἔτι, ἣν φυλάττουσιν οἱ Τοῦρκοι, ἡ δὲ πόλις ὑπὸ χριστιανῶν οἰκεῖται. Ait, se tum unam noctem ibi fuisse et postridie abiisse. 'Εν τοῖς ὄρεσι πολλοί εἰσι λησταὶ καὶ τοῖς φάραγξι· non possunt 3 homines ibi tuto transire, sed 30 aut 40. Εἷς γυμνὸς ἄνος [ἄνθρωπος] ἄνευ χιτῶνος καὶ χρημάτων οὐκ ἔχει φόβον ἀπὸ χιλίων ληστῶν. Hoc ipse dicebat ridenti ore. Columnas ait (sicut audiunt(;)) restare duas cum inscriptione, fuisse Aristotelis Scholam.

β

('Εκ τοῦ αὐτοῦ χειρογράφου· σελ. 102)

Athenes et Corinthus non habent τεῖχος. In uraque esse adhuc 'Ακρόπολις. Athenarum mos non admondum altus . . .

γ

('Εκ τοῦ αὐτοῦ χειρογράφου· ἐν τῇ σελίδι)

Coriuthus habet 3000 domos, Athenae vero ut ipse ἀκήκοεν, ἓξ χιλιάδας· οἱ Τοῦρκοι λαμβάνουσιν ἓξ ἄσπρα ἀπὸ ἑκάστου καπνοῦ, ἔξω τοῦ φόρου, ἤγουν χαρατζίου.

δ

('Εκ τοῦ αὐτοῦ χειρογράφου· σελ. 135).

Περὶ 'Αθηνῶν. 'Εμπορεύονται πλεῖστοι ἐν 'Ενετίᾳ καὶ ἐν Πελοποννήσῳ, ἔλαιον ἀποκομίζοντες καὶ ἕτερα πλεῖστα πράγματα. Εἰσὶ μουσικοί τινες σπουδάζοντες περὶ ταύτην. Εἰσὶ μάλα βάρβαροι· οὐδεὶς τούτων πεπαιδευμένος.

ε

('Εν ἀνεκδότῳ ἐκθέσει τῆς ἐξαρχίας Θεοδοσίου Ζυγομαλᾶ, ἥτις ἐν τῷ αὐτῷ χειρογράφῳ καταχωρίζεται, φέρονται περὶ 'Αθηνῶν τάδε):

Αὖθις αἱ 'Αθῆναι, αἳ ἔχουσιν 'Επισκόπους καὶ ἱερεῖς ὡσεὶ 160. Athenae hodie 'Ακρόπολιν sive arcem habent a Turcis custoditam in qua Πανθέων est. Huic vicina sive antiqua (;) urbs est partim nunc murata, reliqua pars ruinata. Habet nunc urbs οἰκήματα ἕως χίλια. Olivum amplissimum et maximum Græcum ita ut unus sæpe 1000, 2000 et plures oleas habeat, ex quibus vivant. Est nunc oleum Atheniense (;) optimum et pro(;) tota Græcia portatur.

στ

('Εκ τοῦ αὐτοῦ χειρογράφου· σελ. 160)

"Ετος 1585.

14 die Septemb: hora Xa ant prandium ad me venit D[ominus] Daniel Palæologos Atheniensis οἰκονόμος monasterii Iberum iu monte Sancto .I· Atho, quo venerat in sua sua pueritia ἱερομόναχος ordinis S. Baoilii. Quaerebat λύτρον 6 0 Ducatorum seu Zecchinorum monachis 4 redimendis a piratica nave captis Thessalonica detentis: quorum no mina est(;) Neophytus, Damianus, Joasaphat, et Gregorius.

Habebat testimonium Graecum vulgari lingua à principe Abbate Dorotheo omnium monasteriorum, in quibus 12,000 monachi Habebat ex eo Græce téstimonio alliorum multa latina, Gallica Italica, Hispanica, Germanica testimonia ut a rege Phillppo, a Gregor: 13° papa, ab imp: Rodolpho, à Ferdinado Archid: Austriæ, ab Erncsto Colonensi archiepisc ab aliis principibus. Regis Philippi datum fuerat 20 Decemb: 158 . Ita diu hic Daniel circumvagatur (;) Vir μελανοπώγων, lntterum cxpers 15 August: 1586 quadragenarius futurus . . . .

Ait se matrem habuisse Μαρoῦ .I· Μαρίαν patrem *Δημήτριον*, adhuc vivere Athenis πραγματευτάδων panorum. Fuit Coustantinopoli, Hierosolymae, Alexandriae. Cairi, Thebis, parvnm oppidum esse. Sic et Chalcide Euboea, Corinthi. Thessalonicam esse magnitudine dimidium (;) Constantino-

pol: Δούναβι, Peneus f[luvius]. ubi Triccala parvum oppidum Regio ea largo (;) fertilis.

Athenis esse amplam familiam Palæologorum et Comnenorum, non Cantacuzenorum.

ΤΟ ΛΕΓΟΜΕΝΟΝ ΣΥΝΤΟΜΟΝ ΧΡΟΝΙΚΟΝ

('Αποσπάσματα).

Τῷ ,ϛϡξδ΄ [1] ἔτει νεμήσει δ΄, μηνὶ Μαΐῳ κθ΄, ἐφάνη ἀστὴρ ἐν τῷ οὐρανῷ ἀνατέλλων, ἐκβλύζων ὥσπερ καπνὸν εἰς μῆκος ἐπὶ πολλὰς ἡμέρας.

Τῷ ,ϛϡξδ΄ ἔτει νεμήσει δ΄, μηνὶ Ἰουνίῳ παρεδόθη εἰς τὰς χεῖρας τῶνΜουσουλμάνων ἡ πόλις τῶν Ἀθηνῶν.

Τῷ ϛϡξδ ἔτει νεμήσει δ΄, ἐγένετο λεῖψις καὶ ὑστέρησις πάντων καρπῶν, καὶ ἤσθιον ὁ λαὸς ἐκ τοῦ λιμοῦ βοτάνας χλοὰς ῥίζας γιγάρτας ἀκρόδρυα· ἤφερε δὲ τὸ πεντάλιτρον ὁ σῖτος ὑπὲρ λ΄, καὶ οὐχ εὑρίσκετο.

*

Τῷ αὐτῷ ἔτει (ᾳφκγ΄) καὶ τὸ παρελθὸν ἐγένετο λοιμικὴ νόσος παγκόσμιος, κυρίως δὲ εἰς τὴν Κρήτην, εἰς τὴν Ῥόδον εἰς τοὺς Κορφούς, εἰς τὴν Ζάκυνθον, εἰς τὴν Ἄρταν, εἰς τὰ Ἰωάννινα, Περίαν καὶ εἰς τὸν Μωρέαν σποράδην, καὶ εἰς τὴν Ἀθήναν.

Τῷ αὐτῷ ἔτει Αὐγούστου εἰς τὰς η΄ ἐπέρασεν ὁ Κορτούγλης μετὰ κατέργων καὶ *φούστων*, καὶ ἐπῆγε τὸ μέρος τῆς Πουλίας, καὶ ἐπῆρεν ἕνα κάστελλον.

ΧΡΟΝΙΚΟΝ ΤΟΥ ΙϚ ΑΙΩΝΟΣ[2]

Ἔτους ,ζμζ΄ μηνὶ Ἰουνίου κβ΄ ἡμέρᾳ Κυριακῇ ἐρχόμενος Γεώργιος υἱὸς Μιχαὴλ ἱερέως τοῦ Βέβλεβα ἐφ' ἵππου, ἐγκρέμισεν αὐτὸν καὶ ἀπέθανεν τῆς ὥρας ἐν τῇ Χαμοστέρνᾳ ὡσεὶ σταδίου τόπον[3].

Ἐν ἔτει ζλϛ Ἰανουαρίου β΄ ἦλθεν εἰς τὰς Ἀθήνας ὁ κὺρ Λαυρέντιος ὁ καλὸς ἀρχιερεύς.

[1] =6964 ἀπὸ κτίσεως κόσμου, ἤτοι 1456 μ. Χ.

[2] Εὑρίσκεται χειρόγραφον ἐν τῇ Βιβλιοθήκῃ τοῦ ἐν Ὀξωνίῳ Lincoln College. Τὰ καθέκαστα ἐν τῇ Ἱστορίᾳ τῶν Ἀθηναίων Τόμ. Α΄.

[3] Ὅπως εὑρεθῇ πρὸς ποῖον σημερινὸν ἔτος ἀντιστοιχοῦσι τὰ σημειούμενα ἐν τῷ χρονικῷ ἔτη ἀπὸ τῆς κοσμογονίας, ἀφαιροῦνται διὰ μὲν τὰ φέροντα τοὺς μῆνας Σεμπτέμβριον—Δεκεμβρίου ἔτη 5509, διὰ δὲ τὰ λοιπὰ 5508 π. χ. ζμζ=7047—5508=τὸ ἔτος 1539.

Ἐν ἔτει ‚ζνη΄ μηνὶ Αὐγούστου ἦλθεν εἰς τὰς Ἀθήνας ὁ καλὸς ἀρχιερεὺς κὺρ Κάλλιστος.

Ἐν ἔτει ‚ζογ΄ ἐν μηνὶ Ἀπριλίου ἦλθεν ὁ μακαρίτης κὺρ Σωφρόνιος.

Εἰς τοὺς ‚ςϠπη΄ ἔγινε τὸ θανατικὸν τῆς Σπετζαρέας.

Εἰς ‚ζε΄ ἔγινε τὸ θανατικὸν τοῦ Τριαντάρη.

Εἰς τοὺς ‚ζλβ΄ ἔγινε τὸ θανατικὸν τοῦ Ματζάκη.

Εἰς τοὺς ‚ζμα΄ ἔγινε τὸ θανατικὸν τοῦ παπᾶ Γιαλούρη.

Εἰς τοὺς ‚ζμβ΄ ἔγινε τὸ θανατικὸν τοῦ Κουτρούλη Βηλαρᾶ.

Εἰς τοὺς ‚ζμγ΄ ἔγινε τὸ θανατικὸν καὶ ἀπέθαναν πολλοί.

Εἰς τοὺ ‚ζξβ΄ ἦλθεν ὁ υἱὸς τοῦ Καρυδιᾶ ἀπὸ τὴν Πόλιν καὶ ἤφερεν τὸ θανατικὸν εἰς τὴν Ἀθήνα μηνὶ Δεκεμβρίου ιβ΄ καὶ ἐκράτει χρόνους γ΄ καὶ ἀπέθαναν ψυχαὶ ‚ι΄ (;)

Ἐν ἔτει ‚ζιδ΄ Αὐγούστον λδ΄ ἄρχισε τὸ κουντίτο τῆς Ἀθήνας καὶ ἀνιγέρθη ἡ βρύσις τοῦ Ἐξεχώρου καὶ ἀνεκαινίσθη ἡ βρύσις τῆς χώρας διὰ συνδρομῆς τοῦ Σκεντὲρ σούμπαση τοῦ Ἀλιμπασᾶ καὶ διὰ ἐξόδου τοῦ κόσμου ἐσέβη τὸ νερὸν Ἀπριλίου κη΄ ἡμέρᾳ.

Εἰς τοὺς ‚ζνα΄ ἐπῆραν τὰ παιδία ἀπὸ τὴν Ἀθήναν μηνὶ Ἀπριλίῳ κβ΄

Εἰς τοὺς ‚ζνε΄ μηνὶ Δεκεμβρίῳ κη΄ ἐπῆραν τὰ παιδία ἀπὸ τὴν Ἀθήνα.

Εἰς τοὺς ‚ζξα΄ Ἰουνίου πρώτῃ ἐπῆραν τὰ παιδία ἀπὸ τὴν Ἀθήνα εἰς τοῦ Γιακουμάκη τὸ σπῆτι.

Εἰς τοὺς ‚ζξε΄ Ἰουνίου ιη΄ ἡμέρᾳ παρασκευῇ ἐσέβη ὁ Σκλάβος εἰς τοῦ Ζώη τὸ ʽσπῆτι καὶ ἐπῆρε τὰ παιδία

Εἰς τοὺς ‚ζξη΄ Ὀκτωβρίου κε΄ ἐσέβη ὁ Σχλάβος εἰς τοῦ Κυριακοῦ τοῦ Μάνου (;) τὸ ʽσπῆτι καὶ ἐπῆρε τὰ παιδία.

Εἰς τοὺς ‚ζοδ΄ Σεπτεμβρίου πρώτῃ ἐπῆραν τὰ παιδία εἰς τοῦ Κυριακοῦ τὸ ʽσπῆτι.

Εἰς τοὺς ΄ζμς΄ Ἀπριλίου ιδ΄ ἡμέρᾳ Πεμπτῃ ἐχάθη ὁ ἥλιος ὥρα θη τῆς ἡμέρας ἕως ὥρας ιβης.

Εἰς τοὺς ‚ζνβ΄ ἡμέρᾳ Παρασκευῇ ἐχάθη τὸ φεγγάρι ἀπὸ πρώτης ὥρας πῆς νυκτὸς ἕως ὥρας τετάρτης.

Ἐγράφη μηνὶ Αὐγούστῳ ςη ‚αχςω (1606).

ΧΡΟΝΙΚΟΝ ΜΑΤΕΣΗ

(Ἀποσπάσματα).

[1684 Γενναρίου πρώτη· ἀπὸ ἐδῶ καὶ ὀμπρὲς ἔβαλλα ἀρχὴ νὰ γράφω ὅσα πράγματα ἄκουγα νὰ συνέβουνε μὲ τὸν Τοῦρκον καὶ Φραγγίαν].

1684 Ἰουνίου 6, ἦλθε μίαν βάρκα ἀπὸ τὴν Πάτραν καὶ ἔφερε τὸν κονσόλο τῆς Ἀθήνας τὸν Φραντζέζο, καὶ εἶπε πῶς ἀπῆρε ὁ Μόσκο-

βος τὴν Καμινίτζα, καὶ ὁ γκενεράλες εἶνε στὴν Ἁγίαν Μαύρα καὶ πολεμάει, καὶ ἐκάμανεν ὅλους τοὺς Φράγκους σκλάβους ποῦνε στὸ Μωριά, ἤγουν Ζακυθινοὺς καὶ Κεφαλονίταις.

*

1686 Σεπτεμβρίου 29, ἦλθε μία φελοῦκα ἀπὸ τὴν ἁρμάδα καὶ εἶπε πῶς ὁ ἀφέντης ὁ καπετὰν γκενεράλες ἐσαλπάριζεν ἀπὸ τὸ Ἀνάπλι νὰ βγῇ μὰ δὲν ἠξεύρομε γιὰ ποῦ εἶναι.

Ὀκτωβρίου 10, ἦρθε ἕνα καράβι ἀπὸ τὴν Ἀθήνα καὶ εἶπε πῶς ἀφέντης ὁ καπετὰν γκενεράλες ἐπῆγε στὴν Ἀθήνα καὶ ἔκαμε ἡμέραις εἴκοσι καὶ ἀπῆρε δέκα χιλιάδες ριάλια, ὁποῦ τοῦ τὰ δώσανε χαράτζι γιὰ νὰ μὴν τοὺς πολεμήσῃ, καὶ ἔτζι ὀμπληγαριστήκανε νὰ δίνουν πᾶσα χρόνο, καὶ ἐγύρισε πάλι στ' Ἀνάπλι.

*

Ὀκτωβρίου 24, ἦρθε ἕνα καράβι ἀπὸ τὴν Ἀθήνα καὶ εἶπε πῶς ἐκόψανε τὸν βασιλέα τῶν Τουρκῶν καὶ ἐκάμανε τὸν ἀδερφό του.

*

Ἰουλίου 25, ἀπέρασε ἡ ἁρμάδα καὶ ἐπῆγε στὴν Ἀθήνα καὶ ἔρριψε κομματιαῖς καὶ πούνπαις στὴ Μονοβασίαν τρεῖς χιλιάδες, μὰ δὲν ἔκαμεν τίποτις· γιαμὰ πῆγε στὴν Ἀθήνα καὶ τὴν πολεμάει.

*

Ὀκτωβρίου 10, ἦρθε μιὰ ταρτάνα καὶ εἶπε πῶς ἐπῆρε ὁ ἀφέντης ὁ καπετὰν γκενεράλες τὴν Ἀθήναν.

*

Δεκεμβρίου 25, ἦρθε ἕνα καράβι ἀπὸ τὴν Ἀθήνα καὶ εἶπε πῶς ἀφέντης ὁ καπετὰν γκενεράλες θέλει νὰ χαλάσῃ τὴν Ἀθήνα.

1688 Γενναρίου 10, ἦρθε ἕνα καράβι ἀπὸ τὴν Ἀθήνα καὶ εἶπε πῶς οἱ Ἀθηναῖοι δίνουν ὅλην τὴν σπέζα νὰ τοὺς φορτικάρῃ τὴν Ἀθήνα καὶ νὰ μὴν τὴν χαλάσῃ.

Γενναρίου 20, ἰμπαρκάρισε ὁ ἀφέντης ὁ καπετὰν γκενεράλες τοὺς Ἀθηναίους στὰ καράβια νὰ τοὺς στείλῃ στὴ Ζάκυνθο.

*

Φλεβάρης 10, ἦρθε ἕνα καράβι ἀπὸ τὴν Ἀθήνα καὶ εἶπε πῶς εἶναι τρία καράβια μὲ Ἀθηναίους φορτωμένα γιὰ τὴ Ζάκυθο καὶ ἄλλοι γιὰ τὴ Κορώνη, καὶ γιὰ τ' Ἀνάπλι.

Α'. ΑΝΩΝΥΜΟΥ ΤΟΠΟΓΡΑΦΙΑ ΑΘΗΝΩΝ

Τὰ θέατρα καὶ διδασκαλεῖα τῶν Ἀθηνῶν[1]

1. Πρῶτον ἡ ἀκαδημία ἐν χωρίῳ τῶν βασιλικῶν· δεύτερον, ἡ ἐλαιατικὴ εἰς τοὺς ἀμπελοκήπους· τρίτον, τὸ τοῦ Πλάτωνος διδασκαλεῖον εἰς τὸ παραδείσιον· τέταρτον· τὸ τοῦ Πολυζήλου ἐν ὄρει τῷ ἡμιτίῳ· πέμπτον, τὸ τοῦ Διοδώρου πλησίον τούτου.

2. Ἐντὸς δὲ τῆς πόλεως ἔστι τὸ διδασκαλεῖον τοῦ Σωκράτους, ἐν ᾧ εἰσὶ κύκλῳ οἱ ἄνδρες καὶ οἱ ἄνεμοι ἱστορημένοι κατὰ δύσιν δὲ τούτου ἵστανται τὰ παλάτια τοῦ Θεμιστακλέους· καὶ πλησίον τούτων εἰσὶ λαμπροὶ οἶκοι τοῦ Πολεμάρχου· ἵστανται δὲ τὰ ἀγάλματα τοῦ Διὸς ἔγγιστα τούτων· ἄντικρυς δὲ τούτων ἔστι βωμός, εἰς ὃν ταφῆς ἀξιοῦνται οἱ παγκρατισταὶ καὶ ὀλύμπιοι· ἐν ᾧ φοιτῶντες οἱ ῥήτορες τοὺς ἐπιταφίους λόγους ἀνεγίγνωσκον.

3. Κατ' ἄρκτον δὲ τούτου, ὑπῆρχεν ἡ πρώτη ἀγορὰ τῆς πόλεως, εἰς ἣν ὁ Ἀπόστολος Φίλιππος τὸν γραμματέα ἐβύθισεν ἔνθα ὑπῆρχον καὶ οἱ λαμπροὶ οἶκοι φυλῆς τῆς Πανδιονίδος· κατὰ δὲ τὸ νότιον μέρος ὑπῆρχε διδασκαλεῖον τῶν κυνικῶν φιλοσόφων· καὶ πλησίον τούτου τῶν τραγικῶν· ἐκτὸς δὲ τῆς ἀκροπόλεως ὀλίγον πρὸς δύσιν, κατῴκουν οἱ θαλαμ.........καὶ πλησίον τούτου ὑπῆρχε διδασκαλεῖον τοῦ Σοφοκλέους, καὶ πρὸς νότον τούτου ἵστατο (;) ὁ Ἄρειος Πάγος, ἔνθα ὁ τοῦ Ποσειδῶνος υἱὸς Λυρόθιος ὑπὸ Ἄρεος ἐθανατώθη.

4. Κατ' ἀνατολὰς δὲ τούτου ὑπῆρχον τὰ παλάτια Κλεονίδους καὶ Μιλτιάδου· καὶ πλησίον τούτων ἀκμὴν ἵσταται διδασκαλεῖον λεγόμενον τοῦ Ἀριστοτέλους. Ὕπερθε δὲ τούτου ἵστανται δύο κίονες· καὶ εἰς μὲν τὸν ἀνατολικόν, ὑπῆρχε τὸ τῆς Ἀθηνᾶς ἄγαλμα· εἰς δὲ τὸ δυτικόν, τοῦ Ποσειδῶνος· μέσον δὲ τούτων λέγουσιν εἶναι ποτὲ γοργόνης κεφαλήν, ἔνδον κουβουκλείου σιδηροῦ· ἔστι δὲ καὶ ὡρολόγιον τῆς ἡμέρας μαρμαρίτικον.

5. Ἄντικρυς δὲ τούτου πρὸς μεσημβρίαν, ὑπῆρχε διδασκαλεῖον λεγόμενον τοῦ Ἀριστοφάνους· καὶ ἀνατολικὰ ἀκμὴν ἵσταται ὁ λύχνος τοῦ Δημοσθένους· πλησίον δὲ τούτου ἦν τότε καὶ τοῦ Θουκυδίδου οἴκημα, καὶ Σόλωνος, ἀγορά τε ἡ δευτέρα καὶ οἶκος τοῦ Ἀλκμαίονος· καὶ βαλανεῖον μέγιστον καὶ πρὸς νότον τούτου, ἡ μεγάλη ἀγορὰ τῆς πόλεως· καὶ τεμένη πλεῖστα ἀξιάγαστα ἐπὶ τῆς πύλης

[1] Τὸ χειρόγραφον εὑρίσκεται ἐν τῇ αὐτοκρατορικῇ βιβλιοθήκῃ τῆς Βιέννης.

νότιδος· ἧς πρὸς τῆς φλοιᾶς ἱστόρηνται ἐννεακαίδεκα ἄνδρες. . . . . . τὸν ἕνα ἐδίωκον, ἐκεῖ ὑπῆρχε καὶ τὸ βασιλικὸν λουτρόν, ἐνῷ τὸν μέγαν Βασίλειον, διὰ πατάγων φοβῆσαι ἠθέλησαν· ἔνθα καὶ ὁ τοῦ μνηστάρχου οἶκος.

6 Ἵσταται δὲ κατ' ἀνατολὰς τούτου, καμάρα μεγίστη καὶ ὡραία εἰσὶ δὲ τὰ ὀνόματα Ἀδριανοῦ καὶ Θησέως· εὑρίσκεται δὲ ἔνδον τῆς αὐλῆς ....μεγίστη ἐτύγχανεν· εἰς ἣν οἶκος βασιλικὸς ὑπῆρχε πλείστοις κίοσιν ὑπὸ κάτωθεν στηριζομένη· ὅστις ἐλεπτουργήθη πρὸς τῶν δύο καὶ δέκα βασιλέων τῶν τὴν ἄκρην οἰκοδομησάντων.

7. Πρὸς δὲ νότον τούτων ἔστιν οἶκος βασιλικὸς πλὴν ὡραῖος εἰς ὃν κατερχόμενος ὁ δοὺξ κατά καιρὸν εἰς εὐωχίαν ἐκινεῖτο· ἐκεῖ ἔστι καὶ ἡ νεάκρουνος πηγὴ ἡ Καλλιῤῥόη· εἰς ἣν λουόμενος ἀνήρχετο εἰς τὸ τέμενος τὸ τῆς Ἥρας λεγόμενον, καὶ προσηύχετο· νῦν δὲ μετεποιήθη εἰς ναὸν τῆς ὑπεραγίας Θεοτόκου ὑπὸ τῶν εὐσεβῶν.

8. Κατ' ἀνατολὰς δὲ τούτου ἐστὶ τὸ τῶν Ἀθηνῶν θέατρον, κύκλω περιεχόμενον, ὡσεὶ μιλίου διάστημα, δύο εἰσόδους κεκτημένον . . . . βορεινὴ εἴσοδος πλουτεῖ, ἕτερον δὲ. . . . . . . · . . . . . . νοτινὴ ἐπικέκτηται· ἑκατὸν δὲ ζώναις ἐκοσμεῖτο κυκλοτερῶς τὸ θέατρον ἐκ μαρμάρου πεποιημέναις λευκοῦ, ἐν αἷς ὁ λαὸς καθεζόμενος ἐθεώρει τὸν ἀγωνιζόμενον κατὰ τὴν πάλην.

9. Ἐκ τούτου οὖν εἰσερχόμενοι τὴν ἀνατολικὴν πύλην, εὑρίσκομεν ἄλλην ἀγοράν, καὶ ἀγωγοὺς ὕδατος δύο, οὕσπερ ὁ Ἰούλιος Καῖσαρ Ἀθηναίοις χαριζόμενος κατεσκεύασε, καὶ ὕδωρ μήκοθεν τούτοις ἐκόμισεν. Ἔστι δὲ καὶ ἕνερος ἀγωγὸς κατὰ τὴν βόρειον πύλην φερόμενος, ὃν ὁ Θησεὺς ἐλεπτούργησε· καὶ ταῦτα μετὰ τὴν τῆς πόλεως τῶν Ἀθηνῶν τυρανίδα ὡς φησιν ἄβαρις καὶ Ἡρόδοτος ὑπὸ δυοκαίδεκα βασιλέων ἐλεπτουργήθη· Κέκρωψ δὲ ὁ διφυὴς μεγάλως ἐφαίδρυνε, ἐν ποικίλῃ δόξῃ ταῦτα ὡραΐσας· τὰ μὲν τείχη πρὸς ὕψος ἐγείρας, τὸ δὲ ἔδαφος διαφόροις μαρμάροις καταστρώσας καὶ τὰ τεμένη ἔνδοθεν καὶ ἔξωθεν καταχρίσας Ἀθήνας ταύτην ἐπωνόμασεν.

10. Εἰς γοῦν τὴν Ἀκρόπολιν ἡμῶν εἰσερχομένων, εὑρίσκομεν ἕνα μικρὸν διδασκαλεῖον ὅπερ ὑπῆρχε τῶν μουσικῶν· ὅπερ Πυθαγόρας ὁ Σάμιος συνεστήσατο· κατέναντι δὲ τούτου ἔστι παλάτιον μέγιστον· καὶ ὑποκάτωθεν τούτου ἵστανται πλεῖστοι. . . λευκῶν δὲ μαρμάρων πλουτεῖ, σὺν τῇ ὀροφῇ καὶ τοῖς τείχεσι.· πρὸς δὲ τὸ βόρειον κλεῖτος ὑπῆρχε πᾶσα καγγελαρία ἐκ μαρμάρου καὶ κιόνων πεποιημένη λευκῶν, κατὰ νότον δὲ ταύτης ὑπῆρχεν ἡ στοὰ ἐν ποικίλῃ ὡραιότητι περικεχρυσωμένη γύροθεν καὶ ἔξωθεν, καὶ λίθοις τιμίοις κεκοσμημένη·

διὰ ταύτην καὶ στωϊκοὶ φιλόσοφοι ἐλέγοντο οἱ ἐνταύτῃ μαθητευθέντες· ἀντικρὺς δὲ ταύτης τὸ τῶν ἐπικουρείων ἤκμαζε διδασκαλεῖον.

11. Περὶ δέ γε τοῦ ναοῦ τῆς θεομήτορος, ὃν ᾠκοδόμησαν ἀπολλὼς καὶ εὐλόγιος ἐπ' ὀνόματι 'Αγνώστῳ Θεῷ, ἔχει οὕτως· ἔστι ναὸς δρομικώτατος καὶ εὐρύχωρος εἰς μῆκος πολὺ ἐπεκτεινόμενος· καὶ τὰ τείχη τούτου ἐκ μαρμάρου πεποιημένα λευκοῦ, τετράγωνος δὲ ἡ τούτων θέσις καθέστηκε, πηλοῦ καὶ ἀσβέστου χωρίς· διὰ σιδήρου δὲ καὶ μολύβδου ὁ πᾶς τεῖχος ἀνείγερται (;) ἐκτὸς δὲ τοῦ τοίχου, πλουτεῖ κιόνας παμμεγέθεις, κυκλικῶς τὸν ναὸν περιέχοντας· μεταξὺ δὲ τῶν δύο κιόνων περιέχει πλαγίωσιν· πρὸς δὲ τῇ ὡραίᾳ πύλῃ καὶ τὸ ἅγιον βῆμα, ἅπερ εἰσιν κατὰ λίβαν καὶ θρασκίαν, καὶ. . . τὴν τῶν κιόνων στάσιν ἐπικέκτηται, μέχρι μὲν πολλοῦ προϊοῦσα εἰς ὕψος· κεφαλαὶ δὲ τῶν κιόνων κεκολαμμέναι διὰ γλυφῆς σιδήρου εἰς σχῆμα φοίνικος. Εἰσὶν δὲ μεταπεποιημέναι· καὶ τούτων ὕπερθεν δοκοί, ἐκ μαράμρου πεποιημένοι λευκοῦ τοῖς τείχεσι καὶ τῷ τείχει προσκολλώμενοι πλάκας κεκολαμμένας ὑπεράνωθεν ἔχοντες καὶ εἰς ὀροφῆς ὁμοίωμα, ἡ τούτων ἐπιφαίνεται κύρτωσις· στηρίζεται δὲ ὑπὸ τῶν κιόνων καὶ τοῖχος ὡραιότατος.

Β'. ΑΝΩΝΥΜΟΥ ΤΟΠΟΓΡΑΦΙΑ ΑΘΗΝΩΝ[1]

Περὶ τῆς ἀττικῆς

Τὸ κάστρο εἶναι ἡ ἀκρόπολις
τὸ ἰσμαΐδι, εἶναι ὁ ναὸς τῆς ἀθηνᾶς τῆς παλλάδος.
ἡ χρυσοσπηλιώτισσα, εἶναι τὸ σπήλαιον τοῦ πανός.
δύο κολώναις εἰς τὴν μίαν ἦτον τὸ ἄγαλμα τῆς ἀθηνᾶς
μὲ τῆς γοργόνας τὴν κεφαλήν, καὶ εἰς τὴν ἄλλην ἦτον
τὸ ἄγαλμα τοῦ διός· ἀποκάτω εἰς τὴν ὁποίαν
εἶναι ὡρολόγιον μαρμαρένιον.
ὀλίγον παρακάτω ἦτον τὸ λύκιον σχολεῖον τοῦ ἀριστοτέλους.
εἰς τὸν ἅγιον γεώργιον τὸν ἀλεξανδρινὸν εἰς τὴν πλάκα εἶναι
κανδύλι μαρμαρένιον τοῦ δημοσθένους.
ἡ μεγάλη καμάρα, εἶναι ἡ πύλη τῆς πόλεως·
ἡ κολῶναι τῆς Καλλιρρόης ἦτο θέατρον, καὶ ἡ σκηνὴ τοῦ ἀριστοφάνους.

[1] Τὸ χειρόγραφον εὑρίσκεται ἐν τῇ ἐθνικῇ Βιβλιοθήκῃ Παρισίων.—Ὁ ἐκδοὺς αὐτὸ περιέπεσεν εἴς τινα σφάλματα· καίπερ δὲ μὴ ἔχοντες πρὸ ὀφθαλμῶν τὸ πρωτότυπον διορθοῦμέν τινα. Οὕτω π. χ. ἀντὶ "Αγιος Γεώργιος ὁ 'Αλέξανδρος ἔχει τὸ ἐν Mittheilungen δημοσιευθὲν σημείωμα τοῦτο : «'Αλεξανδρινός», καὶ ἄλλα τινὰ μετεβάλομεν, περὶ ὧν ἴδε «'Ιστορίαν 'Αθηναίων» τόμ. Α'.

εἰς ταῖς δύο κολῶναις τοῦ βουνοῦ, ἦτον κοντίτο(;) τραϊανοῦ τοῦ βασιλέως μὲ τὴν ἐπιγραφὴν τὴ λατινική.
εἰς τὸν τεκὲ (;) τοῦ πραϊμη(;) ἦτον ναὸς καὶ σχολεῖον τοῦ σωκράτους, ἔχει τριγύρου τοὺς δώδεκα ἀνέμους καὶ ταῖς ὥραις.
εἰς τὸν ἅγιον γεώργιον τὸν ἀκαμάτι, ἦτον τὸ κεραμεικὸν καὶ ὁ ναὸς τοῦ θισέως. τὸ μαρμαρένιον λεοντάρι, ἦτον ἡ μεγάλη ἀγωγή.[1]
τῶν ἀθηναίων, καὶ τὰ μνήματα τῶν ἡρώων
εἰς τὰ βασιλικὰ ἦτον σχολεῖον τῶν στοϊκῶν
εἰς τὴν ἀκαθημίαν ἦτον σχολεῖον τοῦ πλάτωνος.

ΛΑΟΝΙΚΟΥ ΧΑΛΚΟΚΟΝΔΥΛΟΥ
ΑΘΗΝΑΙΟΥ ΑΠΟΔΕΙΞΕΙΣ ΙΣΤΟΡΙΩΝ ΔΕΚΑ

('Απόσπασμα ἐκ τοῦ βιβλίου Θ)

....'Ως δὲ παρέλαβε τὰς πόλεις καὶ νεήλυδας καθίστη ἐν ταῖς πόλεσι, τὰ μὲν στρατεύματα αὐτῷ διῆκεν ἐπ' οἴκου κομίζεσθαι, αὐτὸς τραπόμενος ἐπὶ τῆς 'Αττικῆς καὶ ἐπὶ τῆς τῶν 'Αθηνῶν πόλεως περιῄει σκοπῶν τόν τε Πειραιᾶ καὶ τοὺς λιμένας, ἀπεδέξατό τε τὴν 'Ομάρεω ἀνδραγαθίαν. Τήν τε πόλιν ταύτην καὶ ἀκρόπολιν πυνθάνομαι βασιλεῖ μάλιστα τῶν ἐν τῇ χώρᾳ αὐτοῦ πόλεων ἐν γνώμῃ γενέσθαι, καὶ τήν τε παλαιὰν τῆς πόλεως μεγαλοπρέπειαν καὶ κατασκευὴν ἀγασθῆναι, ἐπειπόντα «πόση δὴ χάρις ὀφείλεται ἐν τῷ ἡμετέρῳ νόμῳ 'Ομάρῃ τῷ Τουραχάνεω». Τὴν γὰρ πόλιν ταύτην καὶ ἀκρόπολιν παρεστήσατο 'Ομάρης οὗτος τρόπῳ τοιῷδε. 'Ως γὰρ Νέριος ἐτελεύτησε, κατέσχε τὴν τυρανίδα ἡ γυνὴ αὐτοῦ παῖδα ἔχουσα νήπιον, καὶ διαπρεσβευομένη ἐς βασιλέα χρήμασί τε ἐθεράπευε τὰς βασιλέως θύρας, καὶ αὐτὴ διέτριβε περὶ τὴν ἀρχήν. Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον νεανίου τινὸς τῶν Οὐενετῶν ἐμπορίας ἕνεκα 'Αθήναζε ἀφικομένου τῆς συγκλήτου δὲ ἀνδρός ἠράσθη. Καὶ ἐρασθεῖσα ἐς λόγους τε ἀφίεται τῷ νεανίᾳ, ὡς ἐν παιδιαῖς τὰ πολλὰ συνδιατρίβων τῷ νεανίᾳ, ὡς αὐτῷ εἰς γυναῖκα χωρῆσαι ἅμα τῇ ἀρχῇ ἐπιτρέψαι τῆς πόλεως ἕτοιμος εἴη. Ταῦτα δὲ εἶναι αὐτῷ, ἢν ἀποπεμψάμενος τὴν γυναῖκα αὐτοῦ, τρόπῳ οἵῳ δύνηται, ἐπανέλθῃ 'Αθήναζε. Ἦν δὲ ὁ νεανίας Πριάμου παῖς τοῦ Ναύπλιον ἐπιτετραμμένου παρὰ Οὐενετῶν. 'Απιὼν δὲ ὁ νεανίας καὶ κατασχεθεὶς τῷ ἔρωτι, καὶ ἐλπίσας τὴν τῆς πόλεως ἀρχὴν κατασχεῖν, διαφθείρας δὲ καὶ τὴν γυναῖκα αὐτοῦ, γένους οὖσαν καὶ αὐτὴν συγκλητικοῦ, διαφθείρας δὲ ταύτην,

[1] Ἴσως ἀγορά, ἂν δὲν εἶναι μᾶλλον «ὁ μεγάλος ἀγωγός», δηλ. ὑδραγωγεῖον.

ὡς εἴρηται ἐπανῆκεν Ἀθήναζε καὶ τὴν Νερίου γυναῖκα ἤγαγεν. Ἀφικόμενος δὲ ἐς τὴν τῆς πόλεως ἀρχὴν διεβλήθη ὑπὸ Ἀθηναίων ἐν ταῖς θύραις τοῦ βασιλέως. Ὕστερον μέντοι, ὡς ἤχθοντο αὐτῷ οἱ Ἀθηναῖοι, ἐπιτροπεύειν τε τοῦ παιδὸς ἔφασκε καὶ οὐ πολλῷ ὕστερον λαβὼν τὸν παῖδα ἀφίκετο παρὰ βασιλέα. Ὁ γάρ τοι Φράγγος Νερίου ἀδελφιδοῦς, ἀνεψιὸς δὲ τοῦ παιδός, διατρίβων ἐν ταῖς βασιλέως θύραις ἐπέμενε καιρὸν αὐτὸν παρὰ βασιλέως ἀφίξεσαι ἐς τὴν τῶν Ἀθηνῶν πόλιν Βασιλεὺς δὲ ὡς ἐπυνθάνετο τὰ ἀμφὶ τὸν ἔρωτα τῆς γυναικός, ἐπέτρεψε Φράγγῳ τῷ Ἀντωνίου παιδὶ τὴν πολιν, καὶ πέμπων ἐκέλευε δέχεσθαι αὐτὸν τοὺς Ἀθηναίους. Οἱ δὲ ἕτοιμοι ὄντες ἐδέξαντο. Ὁ δ' ὡς ἐς τυραννίδα ἀφίκετο τῆς πόλεως, τὴν μέντοι γυναῖκα συλλαβὼν καθεῖρξεν ἐν Μεγάροις. καὶ οὐ πολλῷ ὕστερον διὰ τὸν γάμον τοῦ νεανίου διέφθειρεν, ὅτῳ μὲν τρόπῳ, οὐδεὶς ᾔσθετο. Δι' ἃ δὴ ἐγκαλοῦντος ἐν ταῖς βασιλίως θύραις τοῦ νεανίου, δεινόν τε ἐποιεῖτο τὴν ὕβριν τοῦ Φράγγου ὁ βασιλεύς, καὶ πέμπων Ὀμάρη τὸν Τουραχάνεω παῖδα σὺν στρατεύματι τῆς Θετταλίας ἐκέλευε....Παραλαβὼν δὲ τὸν τῆς Θετταλίας στρατὸν Ὀμάρης ὁ Τουραχάνεω καὶ ἐπελάσας ἴσχει μὲν αὐτίκα τὴν Ἀθηνῶν πόλιν, μετὰ δὲ τήν τε ἀκρόπολιν ἐπολιόρκει ἐπὶ συχνὸν χρόνον προκαθεζόμενος. Καὶ ἐπειρᾶτο μὲν διὰ τῶν προσηκόντων τῶν ἐν τῇ ἀκροπόλει ἀνδρῶν· ὡς δ' οὐδὲν αὐτῷ προεχώρει, λόγους προσέφερε τοιούσδε· « ὦ παῖ Ἀντωνίου, σὺ οἶσθα τὸν βασιλέως οἶκον, ὡς τήνδε τὴν πόλιν ἐπέτρεψεν ἐπὶ ἱκανὸν χρόνον· καὶ ἐπεὶ βασιλεὺς αὖθις παρακελεύει παραδιδόναι αὐτῷ τὴν πόλιν, οὐκ οἶδα ὅπως ἂν ταύτην ἄκοντος βασιλέως κατέχοις· οὐδὲ γὰρ πάνυ πολὺν διαμεῖναι. Νῦν οὖν παρέχει σοι βασιλεὺς μάλιστα διηλλαγμένῳ οἱ χώραν τε τὴν Βοιωτίαν ἔχειν καὶ τὴν Θηβῶν πόλιν, ἀποφερόμενον δὲ τὸν τῆς ἀκροπόλεως ὄλβον καὶ τὰ σαυτοῦ ἀπιέναι, καταλιπόντα τῷ βασιλεῖ τὴν ἀκρόπολιν.» Ταῦτα ἀκούσας ὁ νεανίας ᾐτεῖτό τε πίσιν, ἐφ' ᾧ ἐμπεδῶσαι αὐτῷ παρὰ βασιλέως τὴν Βοιωτίαν. Διαπραξαμένου δὲ ἐν ταῖς θύραις τοῦ Ὀμάρεω οὕτω δὴ φρασάμενος ὑπεξῆλθε τῆς ἀκροπόλεως, καὶ τὴν Θηβῶν πόλιν σὺν τῇ λοιπῇ Βοιωτίᾳ κατέσχε δόντος αὐτῷ βασιλέως. Οὕτω μὲν δὴ Ἀθῆναι ὑπὸ βασιλεῖ ἐγένοντο παραστησαμένου Ὀμάρεω.

Τότε δὴ περιιὼν ὁ βασιλεὺς καὶ τὴν τότε ἀκρόπολιν θεώμενος ἐν θαύματι ἐποιεῖτο, καὶ τὴν Ἀττικὴν περιιὼν ἐσκόπει τοὺς λιμένας ὡς εἴρηται.

Ἕτερον ἀπόσπασμα ἐκ τῶν τοῦ Λαονίκου Χαλκοκονδύλου
Ἀθηναίου Ἱστοριῶν. Βιβλ. Θ΄.

« . . . Ταῦτα μὲν ἐς τὴν Πελοποννήσου ἅλωσιν ἐς τοσοῦτον ἐγένετο· βασιλεὺς δὲ Ἀθήναζε ἀφικόμενος περιιὼν ἐπισκόπει τήν τε παλαιὰν πόλιν καὶ τοὺς λιμένας· ἐξηγουμένων δὲ οἱ τῶν ἐν τῇ Ἀκροπόλει νεηλύδων ὡς Ἀθηναίων τινὲς συνθέμενοι προδοσίαν Φράγκῳ τῆς Βοιωτίας ἄρχοντι, πρότερον γενομένῳ Ἀθηναίων τυράννῳ, ἐς κίνδυνον ἀφίκοντο αὐτοί τε καὶ ἡ πόλις, ἐνταῦθα ἀναπεισθεὶς βασιλεὺς συλλαμβάνει δέκα τῶν ἀστῶν, ἄνδρας τοὺς ὀλβιωτέρους, καὶ ἀπαγαγὼν τούτους κατῴκισεν εἰς Βυζάντιον. Κομιζόμενος μέν τοι ἐπ' οἴκου καὶ πέμπων κήρυκας ἐκέλευε τὸν ἡγεμόνα Δημήτριον ὑπάγειν πρόσθεν σὺν τῇ γυναικί, καὶ αὐτὸς σχολῇ ἐπορεύετο. Τῷ μέντοι ἡγεμόνι ἐπέτρεψεν Αἶνον πόλιν καὶ πρόσοδον ἀπὸ τῆς αὐτοῦ ταύτῃ ἁλικῆς καὶ ἀπὸ τῶν θυρῶν, ἐξ ἑξήκοντα μυριάδας ἀργυρίου. Τὸν μὲν οὖν Φράγκον τοῦ Ἀντωνίου παῖδα, παιδικά τε αὐτοῦ γενόμενον, ὡς λέγεται, καὶ παραδόντα τὴν Ἀθηναίων Ἀκρόπολιν, πέμπων Ζαγάνῳ τῷ τῆς Πελοποννήσου ὑπάρχῳ ἐκέλευεν ἀνελεῖν. Ζάγανος δὲ ἐς τὴν σκηνὴν συγκαλέσας αὐτὸν εἰς ὁμιλίαν καθίστατο ἄχρι νυκτός, μετὰ δέ, ὡς ἀπιὼν ὥρμητο ἐπὶ τὴν ἑαυτοῦ σκηνήν, κελεύσαντος δὲ αὐτοῦ ταύτῃ ἀπέκτεινεν. Τούτου μὲν ἡ τελευτὴ οὕτως ἔσχε· βασιλεὺς δὲ κομιζόμενος ἐπ' οἴκου σχολῇ ἐπορεύετο, καὶ ἐπὶ Φερρὰς ἀφικόμενος ἡμέρας τε διέτριψεν αὐτοῦ· ἠγγέλλετο γὰρ ἀπὸ Παιόνων στρατὸν ἐλαύνειν ἐπιόντα ἐπὶ τὸν Ἴστρον. Ὡς δὲ κατάδηλα ἐγένοντο οὐδὲν ὄντα, παρῆν ἐς Ἀνδριανούπολιν οὐ πολλῷ ὕστερον, ἅμα ἄγων καὶ τῶν Ἑλλήνων βασιλέως ἀδελφὸν Δημήτριον καὶ γυναῖκα. Ἐς μὲν οὖν τὰ βασίλεια ἀφικόμενος, πέμψας τόν τε εὐνοῦχον ἀπήγαγεν ἀπὸ τῆς τοῦ ἡγεμόνος θυγατρός . . . . ».

ΚΡΙΤΟΒΟΥΛΟΥ

ΞΥΓΓΡΑΦΗΣ ΙΣΤΟΡΙΩΝ ΒΙΒΛ. Γ΄.

(Ἀπόσπασμα)

« . . . Καταστησάμενος δὲ (Μεχεμέτης) πάντα τὰ ἐν Πελοποννήσῳ καλῶς τε καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν, σατράπην τε πάσῃ τῇ αὐτοῦ χώρᾳ τὸν Ἀμάρην καταλιπών, ἀπολύεται τὴν στρατιάν, πολλὰ πρότερον ἐπαινέσας τε αὐτοὺς καὶ δωρησάμενος καὶ τιμήσας τοὺς ἀγαθοὺς ἐπιδόσεσί τε καὶ ἀξιώμασι καὶ ἀρχαῖς καὶ πολλοῖς ἄλλοις· αὐ-

τὸς δὲ ἄρας ἐκ Κορίνθου φθινοπώρου ἀρχομένου (τὸ γὰρ θέρος ἤδη τετελευτήκει), μετὰ τῆς ἰδίας αὐλῆς καί τινων τῶν ἐν τέλει, ἔξεισι τοῦ Ἰσθμοῦ, καὶ ἀφικνεῖται διὰ τῶν Μεγάρων ἐς Ἀθήνας. Κατεῖχε γὰρ αὐτὸν ἔρως σφοδρὸς τῆς τε πόλεως ταύτης καὶ τῶν ἐν αὐτῇ θεαμάτων, ὅτι ἤκουσε πολλὰ καὶ καλὰ περί τε τῆς σοφίας καὶ φρονήσεως τῶν ἐνταῦθα προγεγονότων ἀνδρῶν καὶ τῆς ἄλλης ἀνδρείας καὶ ἀρετῆς καὶ τῶν πολλῶν καὶ θαυμαστῶν ἔργων, ὧν ἐν τοῖς κατ' αὐτοὺς καιροῖς ἐπεδείξαντο καὶ πρὸς Ἕλληνας καὶ πρὸς βαρβάρους ἀγωνιζόμενοι· καὶ ἐπεθύμει εἰδεῖν τε καὶ ἱστορῆσαι τήν τε πόλιν καὶ τὰς ἄλλας ταύτης οἰκοδομὰς καὶ δὴ καὶ τὴν Ἀκρόπολιν αὐτήν, τούς τε τόπους ἐν οἷς οἱ ἄνδρες ἐκεῖνοι ἐπολιτεύοντο καὶ ταῦτα ἔπραττον, καὶ τὴν ἄλλην πᾶσαν θέσιν τῆς χώρας τε καὶ κατάστασιν τῆς τε κατ' αὐτὴν θαλάσσης καὶ τῶν λιμένων καὶ περὶ πάντων ἁπλῶς. Καὶ εἶδε καὶ ἐθαύμασε καὶ ἐπήνεσε καὶ μάλιστά γε δὴ τὴν Ἀκρόπολιν, ἀναβὰς ἐς αὐτὴν, ἀπό τε τῶν ἐρειπίων καὶ τῶν λειψάνων ὡς σοφός τε καὶ φιλέλλην καὶ μέγας βασιλεὺς τὰ ἀρχαῖα καὶ ἄρτια στοχαζόμενός τε καὶ τεκμαιρόμενος. Τοὺς δέ γε οἰκήτορας ταύτης, αἰδοῖ τῶν προγόνων φιλανθρώπως τε εἶδε καὶ ἐδωρήσατο πολυτρόπως καὶ πάντων ὧν ᾔτησαν ἔτυχον παρ' αὐτοῦ. Τέσσαρας δὲ ἡμέρας αὐτοῦ διάγων, τῇ ὑστεραίᾳ ἐκεῖθεν ὁρμηθεὶς ᾔει διά τε τῆς Βοιωτίας καὶ Πλαταιίδος ἀποσκοπῶν πάντας τε τοὺς Ἑλληνικοὺς τόπους καὶ ἀνερευνῶν ἀκριβῶς καὶ πυνθανόμενος περὶ πάντων. . . .«

ΤΟ ΛΕΓΟΜΕΝΟΝ ΧΡΟΝΙΚΟΝ ΤΟΥ ΑΝΘΙΜΟΥ [1]

[Εἰς τοὺς 1703 διάδοχος ἐγένετο τοῦ Κυρίλλου ὁ σοφὸς Μελέτιος ὁ Ἰωαννίτης.

Εἰς τοὺς 1714 διεδέξατο τὸν Μελέτιον ὁ Ἰάκωβος. Ἐπὶ τούτου τοῦ ἀρχιερέως ἦλθεν ὁ ἱεροδιδάσκαλος κὺρ Γρηγόριος, ἐπιλεγόμενος Σωτήρης, καὶ ᾠκοδόμησε τὴν Ἑλληνικὴν σχολήν, καὶ πρῶτος ἐν αὐτῇ διδάσκαλος ἐχρημάτισε καὶ τὴν ἀφιέρωσεν εἰς τὸ κοινόν. Μετὰ ταῦτα μετεπέμφθη ὁ κὺρ Παΐσιος, ὃν διεδέχθη ὁ κὺρ Κοσμᾶς, μεθ' ὃν ὁ Ἀθανάσιος, καὶ μετὰ τοῦτον Δημήτριος Βόδας Ἰωαννίτης νῦν δὲ Σαμουὴλ Κουβελάνος.

Εἰς τοὺς 1736 διεδέξατο τὴν ἐπαρχίαν ὁ Ζαχαρίας.

Εἰς τοὺς 1741 διάδοχος ἐγένετο τοῦ Ζαχαρίου ὁ Ἄνθιμος.

Εἰς τοὺς 1750 ᾠκοδομήθη ἡ σχολὴ τοῦ Ντέκα].

[1] Ἴδε «Ἱστορία τῶν Ἀθηναίων σελ. 29 καὶ ἑπομ.

ΕΦΗΜΕΡΙΔΕΣ

Εἰς τοὺς 1754, ἐν μηνὶ Ἰουλίῳ, ἐσυνέβη ἡ ὀλέθριος στάσις καὶ ἡ δημηγερσία κατὰ τοῦ βοϊνβόνδα Σαρὴ Μουσελίμη. Ἐτελείωσε μὲ μεγάλην φθορὰν τῶν Ρωμαίων, καὶ δαπάνην ὑπὲρ τὰ ὀκτακόσια πουγγία.

Εἰς τοὺς 1755 ἔλαβε τὸ βοϊβοδαλίκι ὁ Χατζῆ Ἀχμὲτ ἀγᾶς.

Εἰς τούς 1756 ὁ αὐτός. Εἰς τὰς 26 Ἰουλίου τοῦ αὐτοῦ ἔτους, ἔπεσε κεραυνὸς ἔνδον τῆς μητροπόλεως καὶ κατέκαυσε τὸν Φιλόθεον, ἀδελφὸν τοῦ κὺρ Ἀθανασίου ἀρχιερέως, καὶ τὸν ἀνεψιόν του Νικολάκην ἐν ταὐτῷ καὶ τοὺς δύο.

Εἰς τοὺς 1757 ἦλθε βοϊβόδας ὁ Οὐσεὶν ἀγᾶς Σαλιμπέογλους. Τὸ χαρέμι του ἐκάθητο εἰς τὸ ὁσπήτιον τοῦ Μπόλμπατζα, εἰς τὸν ἅγιον Θωμᾶν.

Εἰς τοὺς 1758 βοϊβόδας ἐγένετο κἄποιος Οὐσεὶν ἐφένδης. Κατὰ τοῦτον τὸν χρόνον ὁ πασᾶς τῆς Εὐρίπου, λεγόμενος Σοπασαλάνης, πολλὰ κακὰ ἐποίει τοῖς Ἀθηναίοις μὲ τὸ συχνὸν στάλσιμον τῶν ἀνθρώπων του. Τότε ἐφυλακώθη καὶ ὁ κὺρ Ἄνθιμος καὶ ἐπλήρωσε πέντε χιλιάδες γρόσια τοῦ πασᾶ.

Εἰς τοὺς 1759 ἦλθε βοϊβόδας ὁ Τζισταράκης Ἀθηναῖος. Οὗτος ᾠκοδόμησε τὸ τζαμὶ τοῦ κάτω παζαρίου, ἐκρέμνισε μίαν κολόναν ἀπὸ ἐκείνας τοῦ Ἀδριανοῦ διὰ τῆς πυρίτιδος κόνεως, ἔλαβε καὶ πολλὰ μάρμαρα ἀπὸ τὴν παλαιὰν μητρόπολιν. Τῷ ἔτει τούτῳ ἦλθεν ἐξ αἰτίας τῶν ἐναντίων ἀνέμων ἀπὸ τὴν Κρήτην ὁ Ἀλμπὰν πασσᾶς, ἔχων καὶ τὸ ἀγώγιμον τῆς πανώλης, ὁ ὁποῖος μετ' ὀλίγας ἡμέρας ἀνεχώρησε. Ἡ νόσος δὲν ἐδιεδόθη, μόλις εἰς τρεῖς ἢ τέσσαρας οἰκίας.

Εἰς τοὺς 1760 ἐπέστρεψαν ἀπὸ βασιλεύουσαν ὁ κὺρ Ἄνθιμος καὶ δύο τρεῖς τῶν ἀρχόντων μετὰ τοῦ βοϊβόδα Χαλὴλ ἀγᾶ, κομίζοντες καὶ τὸ χάτι σερίφιον, ἀπαγορεῦον ὅλως τὴν εἴσοδον τοῦ πασᾶ. Ὁ βοϊβόδας ἦτο καλὸς καὶ φερωνύμως ἐπωνομάσθη καλὸς Χαλὴλ ἀγᾶς. Τῷ ἔτει τούτῳ ἐγένετο καὶ ἡ Ἀθήνα Μαλικιανές.

Εἰς τοὺς 1761 ἐξανέλαβε τὸ βοϊβοδαλίκι ὁ αὐτὸς καλός· εἶχε λείψει καὶ ἡ εἴσοδος τοῦ πασᾶ.

Εἰς τοὺς 1762 βοϊβόδας πάλιν ὁ Χατζῆ Ἀχμὲτ ἀγᾶς.

Εἰς τοὺς 1763 βοϊβόδας ἦλθεν ὁ Μεϊμὲτ ἀγᾶς σπανός.

Εἰς τοὺς 1764, βοϊβόδα ὄντος τοῦ αὐτοῦ Μεϊμέταγα, περὶ τὰς ἀρχὰς τοῦ ἔτους, τουτέστιν εἰς τὰς 12 τοῦ Ἰανουαρίου, ἀπέθανεν ἐν Λεβαδείᾳ ὁ μητροπολίτης κὺρ Ἄνθιμος, ἀκόμη δὲν εἶχε φθάσει εἰς τὸν

πεντηκοστὸν χρόνον τῆς ἡλικίας του. Διεδέξατο δὲ αὐτὸν ὁ πρῴην Δρύστας κὺρ Βαοθολομαῖος· διέτριψε δὲ ὅλον ἔτος εἰς βασιλεύουσαν διὰ ἀναγκαίας του ὑποθέσεις, καὶ μάλιστα διὰ τὴν ὑπόθεσιν τῶν Κονσολάτων τῆς Ἀθήνας, τὰ ὁποῖα καὶ ἐσηκώθησαν.

Εἰς τοὺς 1765, βοϊβόδα ὄντος τοῦ Ἀβδῆ βέϊ, Κορινθίου, περὶ τὰς ἀρχὰς τοῦ ἔτους, ἀπέθανεν ὁ ἱεροδιδάσκαλος κὺρ Βησσαρίων, οὗτινος διὰ συνδρομῆς καὶ ἐπιστασίας, ᾠκοδομήθη ἡ σχολὴ διὰ φιλοτίμου δαπάνης τοῦ ποτὲ Ἰωάννου Ντέκα, καὶ ἐστάθη καὶ πρῶτος διδάσκαλος τῆς αὐτῆς σχολῆς. Ὑποκάτω εἰς αὐτὸν ἐπαιδεύθην καὶ ἐγὼ τὰ γραμματικά.

Εἰς τὰς 15 Ἰουλίου τοῦ αὐτοῦ ἔτους ἀπέθανεν ὁ διδάσκαλος Ἱερόθεος, ὁ καὶ Μπάνος λεγόμενος, ἄνθρωπος ἐπιτήδειος εἰς ὑπερβολὴν εἰς τὸ νὰ συγγράφῃ καὶ νὰ ὑπαγορεύῃ ἐκ τοῦ προχείρου, εὐφραδὴς καὶ μνημονικώτατος· ἡ μέθη ὅμως τοῦ ἔσβυσε αὐτὰ τὰ προτερήματα καὶ τοῦ ἐσύντεμε καὶ τὸ ζῆν. Περὶ τὸν Αὔγουστον μῆνα, διηγέρθη μεταξὺ Βαρθολομαίου καὶ Νικολάου Λατίνου ἡ φιλονικεία καὶ δυσμένεια, ἐξ αἰτίας μιᾶς κρίσεως ἑνὸς τῶν χριστιανῶν, δὲν ἠξεύρω ποῖος τῶν δύο ὑπερασπίζετο τὴν ἀλήθειαν. Ὁ Λατῖνος μὲ τὴν δύναμιν τοῦ βοϊβόδα, ὀλίγον κατ' ὀλίγον διήγειρε κατὰ τοῦ Βαρθολομαίου τὸ ἱερατεῖον καὶ τὸν λαόν. Ὁ Βαρθολομαῖος ὑπῆγεν εἰς τὰ Δερβενοχώρια, κἀκεῖθεν εἰς Λεβαδείαν, ἴσως διὰ νὰ δώσῃ τόπον τῇ ὀργῇ.

Εἰς τοὺς 1766, βοϊβόδα ὄντος τοῦ αὐτοῦ Ἀβδῆ βέϊ, περὶ τὰς ἀρχὰς τοῦ ἔτους, ὁ Νικόλαος Λατῖνος μετὰ ἱερωμένων καὶ λαϊκῶν διέπλευσαν εἰς βασιλεύουσαν πρὸς ἔξωσιν τοῦ Βαρθολομαίου, ἦν δὲ τότε πατριάρχης ὁ κὺρ Σαμουήλ. Ὁ δὲ Βαρθολομαῖος ἀπὸ Λεβαδείας ἥψατο καὶ αὐτὸς τῆς αὐτῆς ὁδοῦ. Παρεστάθησαν ἀμφότερα τὰ μέρη εἰς τὸ ἄρζ ὀδασί, ἔμπροσθεν τοῦ ὑψηλοτάτου ἐπιτρόπου Μισίνογλου. Περὶ τὰ τέλη τοῦ Ἰουνίου ἦλθον εἰς Ἀθήνας ὅλοι ὁμοῦ καὶ ἠγαπήθησαν καὶ εἰρηνοποιήθησαν, μετ' ὀλίγον δὲ πορευθέντες εἰς βασιλεύουσαν οἱ Ἀθηναῖοι, ἐκίνησαν ἀγωγὴν κατὰ τοῦ Ἀβδῆ βέϊ, καὶ τὸν ἔξωσαν μετ' αἰσχύνης καὶ τοῦ ἐπῆραν καὶ δέκα πουγγία.

Εἰς τοὺς 1767, βοϊβόδας ἐγένετο ὁ Χατζῆ Ἀσὰν ἀγᾶς. Ἐν μηνὶ Σεπτεμβρίῳ διεδέξατο τὴν σχολὴν τοῦ Ντέκα ὁ ἱερολογιώτατος κὺρ Σωφρόνιος ὁ Μπάρπανος.

Εἰς τοὺς 1768, βοϊβόδας ὁ αὐτός. Περὶ τὰ μέσα τοῦ ἔτους ἦλθε βασιλικὸς ὁρισμὸς διὰ νὰ σηκωθοῦν τὰ ἅρματα ἀπὸ τοὺς Ῥωμαίους, καθ' ὅτι ὤδινεν ὁ πόλεμος μεταξὺ Μοσχόβων καὶ τούρκων. Ἐστάλθη δὲ καὶ παρὰ τοῦ ἡγεμόνος τῆς Εὐρίπου μπουγιουργὶ περὶ ἐξετάσεως

νέων ἐκκλησιῶν. Ἔκτοτε ἄρχισαν τὰ πράγματα τῶν Ῥωμαίων νὰ κλίνωσιν ἐπὶ τὸ χεῖρον.

Εἰς τοὺς 1769, ἐν μηνὶ Μαΐῳ, ὄντος τοῦ αὐτοῦ βοϊβόδα, οἱ Τοῦρκοι ἔβαλον εἰς φυλακὴν σιδηροδέσμιον τὸν κὺρ Βαρθολομαῖον δι'ἐπιβουλῆς καὶ συκοφαντίας τοῦ τζιστάραγα καὶ βεΐζαγα, μεταχειρισθέντες ὄργανον ἕνα Τοῦρκον Βοστιτζάνον, ὅστις ἐλθὼν τότε εἰς Ἀθήνας ἐν σχήματι πτωχοῦ Ῥωμαίου, χάριν ἐλεημοσύνης, καὶ γνωρισθεὶς ἀπὸ ἕνα του συμπατριώτην, ἐβλήθη εἰς φυλακήν, ἔνθα ἐλθόντες ὁ βεΐζαγας καὶ κάποις Ἐμὶν ἀγᾶς, κρητικός, τὸν ἐδίδαξεν νὰ μαρτυρήσῃ ὅτι τάχα ἐστάλθη ἀπὸ τὸν Μαΐστορα τῆς Μάλτας μὲ γράμματα ὑποκριτικά, εἰς τὸν μητροπολίτην τῆς Ἀθήνας, νὰ ἔχῃ τὴν εἴδησιν ὅτι μετ'ὀλίγον ἔρχονται δύο καράβια μαλτέζικα εἰς τὸν Ἔλυμπον, χωρίον τοῦ βεΐζαγα, διὰ νὰ πάρουν σκλάβον τὸν αὐτὸν βεΐζαγα. Ἵδρωσεν ὁ κὺρ Βαρθολομαῖος διὰ νὰ ἀποφύγῃ καὶ νὰ ἐλευθερωθῇ ἀπὸ αὐτὴν τὴν συκοφαντίαν μὲ δόσιν δώδεκα πουγγία εἰς τὸν ἡγεμόνα τῆς Εὐρίπου. Ὁ ὑποκριτὴς ἐκεῖνος ἐκρεμάσθη εἰς Εὔριπον ὑπὸ τοῦ ἡγεμόνος, ὁ Βαρθολομαῖος ἐπῆγεν εἰς Λεβαδείαν.

Εἰς τοὺς 1770 περὶ τὰς ἀρχὰς τοῦ ἔτους, ἐν ἀκμῇ οὔσης τῆς μάχης μεταξὺ Τούρκων καὶ Μοσχόβων, ἦλθεν ὁ κὺρ Βαρθολομαιος ἀπὸ Λεβαδείας εἰς τὸ Δαφνί. Οἱ Τοῦρκοι ἐσηκώθησαν ἐπι ποδῶν νὰ τὸν θανατώσουν, ἂν ἤθελε ἔμβῃ εἰς τὴν πολιτείαν· ὅθεν ἐπέρασεν εἰς Κούλουρην, κἀκεῖθεν εἰς Τζίαν, ἔνθα διέτριψε πέντε χρόνους καὶ μετὰ ταῦτα ἐπορεύθη εἰς βασιλεύουσαν. Ἐν μηνὶ Μαΐῳ τοῦ αὐτοῦ ἔτους, τοῦ πολέμου ἐπικρατοῦντος, ἐκοιμώμεθα οἱ Ῥωμαῖοι ἐπάνω εἰς τὸ κάστρον πρὸς ἀσφάλειαν τῶν Τούρκων. Περὶ τὰς ἀρχὰς τοῦ μηνὸς Ἰουνίου,ἦλθεν ἐκ τοῦ Ῥωσσικοῦ Στόλου ὁ καπετὰν Ἀλέξανδρος Παλικούτζας μὲ σημαίαν μοσχόβικην κάτω εἰς τὸν Πειραιᾶ,καὶ ἐπῆρε μίαν σακολέβαν τούρκικην φορτωμένην ρίζι καὶ εὐθὺς ἀνεχώρισεν. Οἱ Τοῦρκοι ἔλαβον τόσον φόβον, ὥστε ὁποῦ κανένας δὲν ἐκοιμήθη κάτω εἰς τὴν πολιτείαν, ἀλλὰ ὅλοι ἀνέβησαν εἰς τὸ κάστρον. Τὴν αὐτὴν νύκτα ὁποῦ ἐμβῆκεν εἰς τὸν λιμένα ὁ καπετὰν Ἀλέξανδρος,ἐπῆγεν ὁ μουσιοῦ Καΐρὰκ (ὅστις ἐκάθητο πάντα κάτω εἰς τὰ ὀσπήτιά του) εἰς τὸ καράβι του πρὸς χαιρετισμόν, μὲ τὸ νὰ ἦναι φίλος του παλαιός,καὶ περισσότερον ὅμως νὰ μάθῃ τὴν αὐτὴν αἰτίαν τοῦ ἐρχομοῦ του.Ὁ καπετὰν Ἀλέξανδρος τὸν ἐδηλοποίησε τοὺς σκοπούς του,δηλ. ὅτι θέλει νὰ διαγείρῃ τοὺς Ῥωμαίους κατὰ τῶν Τούρκων, καὶ νὰ φέρῃ ὅλον τὸν Ῥωσσικὸν στόλον εἰς τὸν Πειραιᾶ. Ὁ μουσιοῦ Καΐράκ, ὡς φρόνιμος καὶ εἰδήμων καὶ καλοθελήτης τοῦ τόπου, ἐπαράτησε πρὸς

αὐτὸν μὲ ζῆλον πολὺν καὶ θερμότητα ὅτι ἂν ἤθελε κάμει τοιοῦτον ἔργον, θέλει φέρει τὸν τέλειον ἀφανισμὸν εἰς τοὺς δυστυχεῖς Ρωμαίους τῆς Ἀθήνας, καὶ ἂν δὲν λυπῆται τοὺς ἄλλους, πρέπει νὰ λυπηθῇ τοὺς συγγενεῖς τῆς γυναικός του, καὶ μάλιστα τὸν γυναικάδελφόν του τὸν Λογοθέτην, οἱ ὁποῖοι πρῶτοι μέλλουσι νὰ δοκιμάσουν τὰ ἀποτελέσματα τοιούτου ὀλεθρίου συμβεβηκότος. Μὲ τοιούτους λόγους τοὺς ἐμπόδισε, καὶ τὴν αὐτὴν νύκτα εὐθὺς ἀνεχώρησε. Τὴν ἀκόλουθον ἡμέραν ἔβαλαν εἰς φυλακὴν εἰς τὸ κάστρον τὸν Σπυρίδωνα Λογοθέτην· οὐ πολλῷ δ' ὕστερον, ἦλθον δύο φρούραρχοι Σουλεϊμὰν βέης καὶ Νουμὰν βέης μὲ βασιλικὸν ὁρισμόν. Εἶχεν ὁ καθ' εἷς ἕως πεντήκοντα ἀνθρώπους. Μετὰ ἕνα μῆνα ὁ Νουμὰν βέης ἀνεχώρησε, μετὰ δὲ δύο μῆνας καὶ ὁ Σουλεμὰν βέης. Ἐκ δὴ τούτου ἔρχεται φρούραρχος ἀπὸ Λάρισσαν, ὁ Διβὰν ἐφέντης διὰ βασιλικοῦ ὁρισμοῦ· εἶχεν ἀνθρώπους ἑκατόν. Περὶ τὰς ἀρχὰς τοῦ Ὀκτωβρίου ἀνεχώρησε· διέβησαν δὲ μετ' ὀλίγον περαστικῶς, ἀναχωρήσαντες ἀπὸ τῆς Πελοποννήσου, ἕως ὀκτακόσιοι σαριγγιουλίδες, πεφορτωμένοι ἀπὸ λάφυρα καὶ ἀπὸ αἰχμαλώτους γυναῖκας. Κατέλυσαν εἰς τὸ περιβόλιον τῆς ἁγίας Τριάδος, καὶ μετὰ δύο ἡμέρας ἀνεχώρησαν χωρὶς νὰ προξενήσουν καμμίαν βλάβην. Τῷ ἔτει τούτῳ ἔγινεν ἀρκετὸν εἰσόδημα λαδίου, ὅμως δὲν ἐπωλήθη μὲ τιμήν, μόλις πρὸς 24 καὶ 30 παράδες τὸ ξεστί· ἔκτοτε ἄρχισεν ὁ κόνσολας Γάσπαρης νὰ κερδίζῃ.

Ἐπειδὴ τῆς ἡμῶν μετριότητος συνοδικῶς προκαθημένης ἐδηλώθη ἀσφαλῶς ὅτι τὸ θειότατον σῶμα τῆς ὁσιωτάτης Φιλοθέης τὸ κείμενον ἐν τῇ νεουργηθείσῃ ὑπ' αὐτῆς ἱερᾷ μονῇ τοῦ Ἁγίου Ἀνδρέου, οὐχ' ἧττον τῶν πάλαι εὐαρεστησάντων (sic) Θεῷ ἐκείνων ὁσίων γυναίων, εὐωδίας πεπληρωμένον ἐστὶ καὶ μύρον διηνεκῶς ἐκχεῖται, ἀλλὰ καὶ τοῖς προσιοῦσιν ἀσθενέσι τε καὶ δεομένοις θεραπείας τὴν ἴασιν δίδωσιν, ἥτις καὶ ζῶσα νηστείαις καὶ ἀγρυπνίαις κατατήξασα ἑαυτὴν τέλους τετύχηκεν ἀμύμονος, ὡς δε πλατύτερον τὰ περὶ αὐτῆς ὅ τε κατὰ τόπον ἀρχιερατεύων Ἀθηνῶν Νεόφυτος καὶ ὁ Κορίνθου καὶ ὁ Θηβῶν καὶ πᾶς ὁ ἱερὸς τῶν Ἀθηνῶν κλῆρος συνάμα τοῖς ἄρχουσι δι' ἀναφορᾶς ἐνυπογράφου ἐπιστώσαντο· τούτου χάριν ἔδοξεν ἡμῖν τε καὶ πάσῃ τῇ Ἱερᾷ Συνόδῳ τῶν καθευρεθέντων ἐνταῦθα ἀρχιερέων συγγραφῆναι καὶ ταύτην τῷ χορῷ τῶν ὁσίων καὶ ἁγίων γυναικῶν, ὥστε καὶ κατ' ἔτος τιμᾶσθαι καὶ πανηγυρίζεσθαι δι' ἀγρυπνίας ψαλμῳδίας καὶ ἁρμοδίου κανόνος διηγουμένου τὰ ταύτης ἱερὰ ψυχωφελῆ κατορθώματα ἅπερ δῆλά εἰσι τοῖς τε ἐγγὺς καὶ τοῖς πόρρω εὐσεβεστάτοις χριστιανοῖς, οἳ τὰ ἴσα πρεσβεῖα ταῖς μνημονευομέναις ἁγίαις τῶν γυναικῶν οὐκ ὀκνοῦσιν εὐλαβῶς παρέχειν καὶ πρὸς αὐτὴν ὡς τὴν ἐνάρετον καὶ ὡς ἰσάγγελον πολιτείαν κληρωσαμένην. Πρὸς δὲ καὶ τὸ μνημονεύεσθαι ἀεννάως τὸ θεῖον ὄνομα αὐτῆς εἰς ἐκκλησίας δίκαιον κρίνομεν, ἵνα μὴ ὁ πανδαμάτωρ χρόνος λήθην τῶν ἀνδραγαθημάτων αὐτῆς προξενήσῃ, ἐν οἷς καὶ ὁ μισθαποδότης ἐπαναπαύεται καὶ ἄνθρωποι συνευφραίνονται ταῖς ὁσίαις εὐχαῖς αὐτῆς, ὀφειλόντων πάντων τῶν ἐν Ἀθήναις εὑρισκομένων ἱερωμένων καὶ λαϊκῶν τὸ παρὸν συνοδικὸν γράμμα ἀσπασίως δέξασθαι καὶ μὴ ἐναντίον, ἵνα μὴ ἀντὶ εὐχῆς προσηκούσης ἀρὰν ἐπισπάσωνται. Ἡ δὲ τοῦ Θεοῦ χάρις.......

[1] Ἐξεδόθη ἐπὶ τῆς β΄ Πατριαρχείας Ματθαίου Β΄ τοῦ ἀπὸ Ἰωαννίνων 1595-1600. Τὸ πρωτότυπον κατείχετο ὑπὸ Σοφοκλέους Οἰκονόμου.

ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

ΦΙΛΟΘΕΗΣ ΤΗΣ ΕΞ ΑΘΗΝΩΝ

ΨΑΛΛΟΜΕΝΗ

ΚΑΤΑ ΤΗΝ ΔΕΚΑΤΗΝ ΕΝΑΤΗΝ ΤΟΥ ΦΕΒΡΟΥΑΡΙΟΥ ΜΗΝΟΣ

ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙΣΑ

συνδρομῇ καὶ δαπάνῃ τοῦ ἐντιμοτάτου καὶ εὐγενεστάτου Κυρίου

ΛΕΟΝΑΡΔΟΥ ΠΟΤΕ ΔΗΜΗΤΡΙΟΥ ΚΑΠΕΤΑΝΑΚΗ

ΤΟΥ ΕΞ ΑΘΗΝΩΝ

ΑΨΟΕʹ ΕΝΕΤΙΗΣΙΝ 1775

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΗΣ ΟΣΙΑΣ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΜΗΤΡΟΣ ΗΜΩΝ

ΦΙΛΟΘΕΗΣ ΤΗΣ ΕΞ ΑΘΗΝΩΝ[1]

Θαυμάσια εἶνε τῳόντι καὶ ἄξια διηγήσεως, τῶν παλαιῶν Μαρτύρων τε καὶ Ὁσίων τὰ ἔνθεα κατορθώματα, καὶ ἱκανὰ νὰ προσερεθίσουν καὶ νὰ διεγείρουν εἰς τὴν κατὰ δύναμιν μίμησιν καὶ τὰς πλέον ἀμελεῖς καὶ ῥαθύμους ψυχάς. Ἀλλ' ἡ ἔλλειψις (φεῦ) τὴν σήμερον τῶν τοιούτων Ἁγίων κάμνει τοὺς ἀνθρώπους νὰ προφασίζωνται, καὶ τῷ τότε τάχα καιρῷ, οὐχὶ δὲ τῇ οἰκείᾳ προαιρέσει καὶ τῇ τοῦ Θεοῦ χά-

[1] Ἐν τῇ Ἀκολουθίᾳ ὁ Βίος εἶνε παρεμβεβλημένος μεταξὺ τοῦ ἐν σελ. 161 τῶν Μνημείων «Πᾶσα γλῶσσα κινήσθω» κτλ. καὶ τοῦ ἐν σελ. 162 «Ἡ μόνη Ἀπείρανδρος». Πρὸ τοῦ Βίου ὑπάρχει τὸ ἑξῆς:

«Μηνὶ Φεβρουαρίῳ ΙΘʹ Μνήμην ἐπιτελοῦμεν τῆς Ὁσίας καὶ Θεοφόρου Μητρὸς ἡμῶν Φιλοθέης.

Ἡ Φιλοθέη τῶν τῇδε μεταστᾶσα
Χαίρουσ' ἀνῆλθε πρὸς Μονὰς οὐρανίους

ριτι νὰ ἀποδίδουν τὰ ἐκείνων ἆθλα καὶ τὰς ἀρετάς· διὰ τοῦτο περισσότερον πρέπει νὰ ἐκθειάζωνται ὅσοι καὶ ὅσαι κατὰ τοὺς παρόντας καιρούς, ἢ καὶ ὀλίγον πρὸ ἡμῶν, τοῖς τῶν παλαιῶν ἴχνεσιν ἐπακολουθήσαντες ἤτοι μὲ Μαρτυρικὸν θάνατον, ἢ μὲ ἀσκητικὴν πολιτείαν, ἐδόξασαν τὸν Θεὸν, καὶ παρ' αὐτοῦ πλουσίως ἀντεδοξάσθησαν· οἶδε γὰρ Κύριος δοξάζειν τοὺς αὐτὸν ἀντιδοξάζοντας. Μία κατ' ἐκείνους ἐχρημάτισε καὶ ἡ νῦν εἰς εὐφημίαν καὶ μνήμην προκειμένη Ἁγία, ἡ ὁποία ὡρμᾶτο ἐκ τῆς πόλεως Ἀθηνῶν, Μητρὸς μὲ Συρίγης, Πατρὸς δὲ Ἀγγέλλου Μπενιζέλου τοὐπίκλην, ἀπὸ τοῦ ὁποίου τὸ γένος εἰσέτι καὶ νῦν διασώζεται ἐν Ἀθήναις, ἀμφοτέρων φιλευσεβῶν, εὐγενῶν, καὶ πλουσίων. Μάλιστα ἡ εἰρημένη Συρίγα ὅσον εἶχε τὴν ἐξωτερικὴν περιφάνειαν καὶ πλουσιότητα, τόσον ἐπλούτει καὶ τὴν ἐσωτερικὴν, οὖσα κατάκοσμος ἀπὸ διαφόρους ἀρετὰς, καὶ τὸ πλέον, ἀπὸ τὴν Χριστομίμητον Ἐλεημοσύνην· οὖσα δὲ στεῖρα καὶ ἄγονος, καὶ περὶ τούτου ὡς εἰκὸς λυπουμένη, δὲν ἐπρόσδραμεν εἰς ἀνθρωπίνας τέχνας καὶ ἰατρείας καθὼς ὁμοιοπαθεῖς γυναῖκες συνειθίζουν τὴν σήμερον ἀλλὰ γενναίῳ φρονήματι, μιμουμένη τὴν θεοχαρίτωτον ἐκείνην καὶ προφήτιδα Ἄνναν, κατέφυγε μετὰ πίστεως πρὸς τὸν Παντοδύναμον καὶ πανάγαθον Ἰατρὸν, καὶ εἰς τὴν μεσιτείαν τῆς Ἀειπαρθένου καὶ Θεοτόκου Μαρίας, ἐκλιπαροῦσα ταύτην θερμῶς νὰ διαλύσῃ τὴν ἐπώδυνον στείρωσιν· καί γε τῆς δεήσεως οὐ παρήκουσεν ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος. Ἐν μιᾷ γὰρ τῶν ἡμερῶν εἰσελθοῦσα κατὰ τὸ εἰωθὸς αὐτῇ εἰς τὸν τῆς Θεοτόκου Ναόν, καὶ ἀπὸ τὸν κόπον τῆς συντόνου καὶ ἐπιμόνου προσευχῆς ἀποκοιμηθεῖσα ὀλίγον, βλέπει ὅτι ἐξῆλθεν ἐκ τῆς Θεομητορικῆς Εἰκόνος φῶς μέγα καὶ ἔκλαμπρον, καὶ ἐμβῆκεν εἰς τὴν κοιλίαν της, καὶ οὕτως ἀφυπνώσασα, καὶ καθ' ἑαυτὴν κρίνουσα τὸ ὁραθέν, ἔλαβε πληροφορίαν πῶς ἐπέτυχε τῆς αἰτήσεως, ὃ καὶ ἐγένετο, μετ' ὀλίγον γὰρ συλλαβοῦσα, ἐγέννησε θυγατέρα καὶ ἐπωνόμασε ταύτην Ῥεβοῦλαν· ἡ ὁποία, ὡς τέκνον δι' εὐχῆς Θεόθεν δεδωρημένον, ἐξ ἁπλῶν ὀνύχων προεμήνυε τὰ μετὰ ταῦτα ἐνάρετα αὐτῆς καὶ θεοειδῆ καρτοθώματα, καὶ ὅσον ηὔξανε κατὰ τὴν σωματικὴν ἡλικίαν, τόσον προέκοπτε καὶ κατὰ τὴν ψυχήν, ἔχουσα καὶ προσεχὲς τὸ παράδειγμα τῆς Μητρός της, καὶ, ὡς δένδρον πεφυτευμένον παρὰ τῶν ὑδάτων τὰς διεξόδους, ἔσπευδε ν' ἀποδώσῃ ἑκατονταπλασίονα τὸν καρπόν. Λοιπὸν φθάσασα τὸν δωδεκαετῆ χρόνον τῆς ἡλικίας της, ἐζητήθη ἐπὶ γαμικῇ Συζυγίᾳ παρά τινος τῶν τότε πρωτίστων τῆς πόλεως, ἀλλ' αὕτη ἡ ἀοίδιμος τρέφουσα πόθον εἰς τὴν καρδίαν της εἰς τὸ νὰ φυλάξῃ τὴν Παρθενίαν, ἀσκητικῶς νὰ πολι-

τευθῇ, τὸ μὲν πρῶτον ἀπέβαλε τὸ τέτοιον ζήτημα ὡς ἀπᾷδον εἰς τὸν θεοφιλῆ της σκοπόν, ὕστερον δέ, ἀπὸ τὴν πολλὴν βίαν καὶ τὰς ἐνοχλήσεις ὁποῦ καθ' ἑκάστην οἱ γονεῖς αὐτῆς ἔκαμναν, δικαιολογούμενοι ὅτι δὲν ἔχουν διάδοχον ἕτερον τῆς ἐνούσης αὐτοῖς περιουσίας, ἔστερξε καὶ ἀκουσίως καὶ συνεζεύχθη νομίμῳ ἀνδρί, ὅστις μὲ τὸ νὰ ἔτυχε γνώμης σκληρᾶς καὶ σχεδὸν ἀπανθρώπου, τὴν ἔθλιβε καθημερινῶς μὲ διαφόρους κακώσεις καὶ τιμωρίας. Ἡ δὲ ἀείμνηστος ὑπομένουσα εὐχαρίστως ἕνα τοιοῦτον τύρανον καὶ ὄχι ὁμόζυγον, ἐπραγματεύετο παντοιοτρόπως τὴν σωτηρίαν καὶ τὴν διόρθωσίν του, ποτὲ μὲν τὸν Θεὸν παρακαλοῦσα νὰ μεταβάλλῃ τοῦ τρόπου αὐτοῦ τὸ ἐκτεθηριωμένον καὶ φαῦλον, ποτὲ δὲ αὐτὸν ἐκεῖνον νουθετοῦσα καὶ διελέγχουσα καὶ ἔτζι ἐπέρασε μετ' αὐτοῦ τρεῖς ὅλους χρόνους διὰ πολλῶν θλίψεων καὶ βασάνων, ἕως ὁποῦ ὁ Θεὸς βλέπωντας τὴν ταύτης Ὑπομονὴν καὶ τὸ ἐκείνου ἀμετανόητον, τὸν ἐθέρισε μὲ τὸ δρέπανον τοῦ θανάτου. Ἡ δὲ Ἁγία μετὰ τὴν αὐτοῦ ἀποβιωσιν διέτριβε τοῦ λοιποῦ εἰς τὸ πατρικόν της ὀσπήτιον, πρὸς ἕνα καὶ μόνον σκοπὸν ἀφορῶσα, τὸ πῶς νὰ εὐαρεστήσῃ εἰς τὸν Θεὸν μὲ ὅλα τὰ εἴδη τῆς ἀρετῆς· τὸν ὁποῖον καὶ καθικέτευε νυκτὸς καὶ ἡμέρας διὰ νὰ τὴν ἐνισχύσῃ εἰς ὃν καὶ πρότερον εἶχε σκοπόν· μὲ ὅλον ὁποῦ πάλιν οἱ γονεῖς της δὲν ἔπαυον ἀπὸ τοῦ νὰ τῆς προβάλλουν καθ' ἑκάστην καὶ δεύτερον γάμον, διότι ἐζητεῖτο ἐπιμόνως παρὰ πάντων τῶν ἐν τῇ πόλει περιφανῶν διά τε τὸ εὐγενές, καὶ περιὸν τοῦ πλούτου· ἀλλ' ἦσαν πλέον ἀδάμαντα παίοντες, καὶ λίθον ἑψῶντες κατὰ τὴν παροιμίαν· μάλιστα ὁποῦ αὕτη ἡ Μακαρία ἀπὸ τὰς ἀδιαλείπτους καὶ ἐκτενεῖς ἱκεσίας καὶ προσευχὰς ὁποῦ ὡς θυσίαν αἰνέσεως τῷ Κυρίῳ προσέφερεν, ἠξιώθη καὶ Θείας ὀπτασίας, ἐπιστηριζούσης αὐτὴν εἰς τὸν θεοφιλῆ καὶ θεάρεστον γνώμην. Δέκα χρόνοι ἦσαν τῆς χηρείας της περασμένοι, καὶ οἱ μὲν γονεῖς αὐτῆς ἀφέντες τὰς ἐν γῇ διατριβὰς ἀπέρασαν εἰς τὴν ἄλλην ζωήν, ἡ δὲ Ἁγία, ἐλευθερωθεῖσα ἀπὸ τέτοια ἐμπόδια, καὶ δοξάσασα τὸν Θεόν, ἤρξατο, ἐν ταπεινοφροσύνῃ Πνεύματος, ἀσκητικωτέρας διαγωγῆς, νηστείαις, ἀγρυπνίαις καὶ προσευχαῖς, σχολάζουσα, καὶ ὡς φιλόπονος μέλισσα εἰργάζετο τὸ γλυκύτατον μέλι τῆς ἀρετῆς καὶ πρῶτον μέν, δι' ἐν ὁράματι ἐπιταγῆς τοῦ Ἁγίου Ἀνδρέου τοῦ Πρωτοκλήτου οἰκοδομεῖ Παρθενῶνα, ἐπ' ὀνόματι τούτου τοῦτον τιμήσασα, μὲ ἱκανὰ κελλεῖα, καὶ ἄλλα ἀναγκαῖα οἰκοδομήματα καὶ περιοχὰς, καὶ τὸν ἐπροικοδότησε μὲ μετόχια καὶ ὑποστατικὰ ἱκανὰ πρὸς ἀναγκαίαν ζωοτροφίαν τῶν ἐν τούτῳ μοναζουσῶν, ὁ ὁποῖος Παρθενὼν σώζεται ἐν Ἀθήναις μέχρις τῆς σήμερον Θεοῦ χάριτι κατοικημένος ἀπὸ μοναζού-

σας παρθένους, καὶ πλουτισμένος οὐ μόνον μὲ ὑποστατικὰ διάφ ρα καὶ μετόχια, ὡς προείρηται, ἀλλὰ καὶ μὲ πολυειδῆ χρυσοΰφαντα ἱερατικὰ καὶ σκεύη, διὰ τὰς ἐτησίους ἱερὰς τελετὰς καὶ ὁλονυκτίας ὁποῦ ἐπιτελοῦνται, καὶ πρὸ τούτων πάντων σεμνυνόμενος καὶ ἐγκαλλωπιζόμενος μὲ τὸν θησαυρὸν τοῦ τιμίου αὐτῆς καὶ Ἁγίου Λειψάνου, τὸ ὁποῖον εἶνε ἀποτεταμιευμένον καὶ ἀποτεθειμένον εἰς τὸ δεξιὸν μέρος τοῦ ἱεροῦ Βήματος, παρὰ πάντων εὐλαβῶς ἀσπαζόμενον, καὶ θαυμαστὴν ἀποπνέον τὴν εὐωδίαν εἰς ἐναργῆ μαρτυρίαν καὶ σημεῖον τῆς ἁγιότητος. Ὕστερον δὲ, μετὰ τὴν τοῦ Παρθενῶνος λέγω τελείωσιν πρώτη αὕτη κει αμένη τὴν κόμην, Φιλοθέη μετονομοσθεῖσα, ὡς ἐν σταδίῳ τῆς ἀσκήσεως αὐτῷ εἰσεπήδησε, σι νεπαγομένη μεθ' ἑαυτῆς καὶ τὰς θεραπενίδας ὁποῦ εἶχε διατρίβουσα ἐν τῷ πατρικῷ αὐτῆς οἴκῳ, οὔσας παρ' αὐτῆς προκατηχημένας καὶ προπαρασκευασμένας εἰς τὴν κατὰ Θεὸν πολιτείαν· οὐ μὴν δὲ ἀλλὰ οὐκ ὀλίγαι τῶν ἐν τῇ πόλει περιβλέπτων Παρθένων ἀσμένως ἀποτασσόμεναι τοῖς π οσκαίροις καὶ φθειρομένοις τοῦ κόσμου τούτου τερπνοῖς, καὶ τὸ Μοναχικὸν ἐνδυόμεναι Σχῆμα, ὑπὸ καθηγεμόνι τῇ μακαρίᾳ τῇδε ὑπετάσσοντο καὶ ὑπέκυπτον· διότι ποία ἀκούουσα τὰ ψυχοσωτήρια ἐκείνης καὶ γλυκύτατα λόγια, ἢ ποία τὸ πρᾷον τῆς γνώμης καὶ τὴν πᾶσαν τῶν ἀγαθῶν σύρροιαν κατανοοῦσα, δὲν ἤθελεν ἑλκυθῇ ὡς ὑπὸ μαγνήτου ὁ σίδηρος ; Τὸ δὲ εἰς τοὺς δεομένους συμπαθὲς καὶ φιλάνθρωπον, καὶ τὴν καθημερινὴν φροντίδα καὶ ἔγνοιαν ὁποῦ εἶχεν ὑπὲρ αὐτῶν, ποιοῦσα καὶ λέγουσα μετὰ Παύλου, τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ, ποῖος ἤθελεν ἠμπορέσει ἀξίως νὰ ἐπαινέσῃ; Τὰ Νοσοκομεῖα καὶ Ξενοδοχεῖα ὁποῦ ὀλίγον μακρὰν τοῦ Μοναστηρίου ἔκτισεν, εἶναι ἀρκετὸν τεκμήριον τῆς φιλοικτίρμονος ἐκείνης καὶ εὐσπλαγχνικωτάτης ψυχῆς εἰς τὰ ὁποῖα εἰσερχομένη ἡ ἰδία αὐτὴ ἐπεσκέπτετο τοὺς διαφόροις νοσήματι κατεχομένους, οὐ μόνον μὲ ὅλα τὰ πρὸς τροφὴν καὶ σωματικὴν ἀνάπαυσιν ἀναγκαῖα, ἀλλὰ καὶ μὲ παραμυθητικὰ καὶ εὐαγγελικὰ λόγια διατρέφοντα τὴν ψυχὴν, γινομένη τὰ πάντα τοῖς πᾶσι, ἵνα τοὺς πάντας κερδίσῃ κατὰ τὸν Παῦλον, ἢ τοὺς πλείονας. Οὕτω γοῦν ὥστινος πηγῆς πολυχεύμονος ἐλέους καὶ συμπαθείας τῆς Ἁγίας γνωριζομένης καὶ λεγομένης, καὶ πάντων τῶν χρηζόντων πρὸς αὐτὴν συρρεόντων, συνέβη τὸ Μοναστήριον νὰ καταντήσῃ εἰς ἐσχάτην πτωχείαν καὶ αἱ ἐν αὐτῷ μονάζουσαι ἄρχισαν νὰ γογγύζουν κατὰ τῆς Ἁγίας καὶ νὰ μικροψυχοῦν διὰ τὴν στέρησιν τῶν πρὸς τῶν ζῆν ἀναγκαίων, ἀλλ ἡ Θεοχαρίτωτος αὕτη δὲν ἔπαυεν ἀπὸ τοῦ νὰ τὰς νουθετῇ λέγουσα, ὅτι νὰ ἔχουν πίστιν εἰς τὸν Θεόν, τὸν καὶ τοὺς νεοσ-

σοὺς τῶν κοράκων τοὺς ἐπικαλουμένους αὐτὸν διατρέφοντα, καὶ νὰ στέκωσι στερεαὶ εἰς τὰ ἀψευδέστατα αὐτοῦ καὶ πανάγια λόγια, ὁποῦ λέγουν. Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν, τὸ ὁποῖον καὶ ἔγινε μετ' ὀλίγας ἡμέρας ἐμπράκτως διὰ μέσου δύο ἀρχόντων, οἵτινες κατὰ θείαν νεῦσιν ἦλθον χάριν προσκυνήσεως εἰς τὸ Μοναστήριον καὶ ἔδωκαν τῇ Ἁγίᾳ μίαν πλουσιοπάροχον ἐλεημοσύνην, καὶ ἔτζι αἱ ἀδελφαὶ ἐδόξασαν τὸν πλουτοδότην Θεὸν, καὶ ἐθαύμασαν τὴν πρὸς αὐτὸν τῆς Ἁγίας ἀδίστακτον πίστιν. Ἦσαν δὲ κατ' ἐκεῖνο καιροῦ ὑπὸ τοὺς Ἀγαρηνοὺς γυναῖκες αἰχμάλωτοι ἀπὸ διαφόρους τόπους ἐν ταῖς Ἀθήναις· ἀλλὰ τὴν συμπάθειαν καὶ φιλανθρωπίαν, καὶ τοὺς πειρασμοὺς καὶ κινδύνους, ὁποῦ ὑπὲρ τῆς ἐκείνων σωτηρίας καὶ ἀναρρύσεως ὑπέμεινεν ἡ ἀείμνητος, πᾶς λόγος ἀδυνατεῖ πρὸς ἀξίαν νὰ παραστάσῃ· ἡμεῖς ὅμως ἓν ἐκ πολλῶν εἰπόντες, θέλομεν κάμει τοὺς ἀναγινώσκοντας νὰ συμπεράνουν ποταπὴν ζέσιν καὶ πόθον εἶχεν ἡ ὄντως Φιλόθεος Φιλοθέη ὑπὲρ τῆς τῶν ἀδελφῶν σωτηρίας. Τέσσαρες γυναῖκες αἰχμάλωτοι, ἀκούσασαι τὴν τῆς Ἁγίας φήμην καὶ εὐκαιρίας τυχοῦσαι, ἐδραπέπευσαν ἀπὸ τοὺς αὐθέντας τους, ὁποῦ τὰς ἐβίαζαν εἰς τὴν τῆς Πίστεως ἐξάρνησιν, καὶ κατέφυγον πρὸς αὐτήν. Ἡ ὁποία μὲ τὴν συνειθισμένην της εὐμένειαν καὶ φιλοφροσύνην αὐτὰς ὑποδεξαμένη καὶ νουθετήσασα ἱκανῶς εἰς τὸ νὰ στέκουν ἀνδρεῖαι εἰς τοὺς ὑπὲρ πίστεως κινδύνους, καὶ νὰ μὴ λυποῦνται πολλὰ διὰ τὴν δουλείαν, ἐπαρατηροῦσε καιρὸν ἁρμόδιον εἰς τὸ νὰ τὰς κατευοδώσῃ εἰς τὰς ἰδίας αὐτῶν πόλεις. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ οἱ κύριοι τῶν φυγάδων μαθόντες τὰ γενόμενα, ὥρμησαν ὡς ἄγριοι θῆρες εἰς τὴν κέλλαν τῆς Ἁγίας, καὶ ἁρπάσαντες αὐτήν, καίτοι γε οὖσαν κλινοπετῆ ἡμέρας πολλὰς, παρέστησαν τῷ τότε ἡγεμόνι, Μουσουλμάνῳ καὶ αὐτῷ ὄντι, καὶ τὴν ἔβαλαν εἰς σκοτεινὴν φυλακήν. Ἡ δὲ χαρεῖσα ἐπι τούτῳ μᾶλλον, ἢ λυπηθεῖσα ἦτον ἑτοίμη νὰ θυσιάσῃ καὶ αὐτὴν τὴν ζωήν, παρὰ νὰ προδώσῃ τὰς ἱκέτιδας ἐκείνας γυναῖκας, δεικνύουσα ἐμπράκτως τὴν λέγουσαν ἐν Εὐαγγελίοις φωνήν: Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τὶς θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ποῖος ἤθελε κρίνει ὀλιγώτερον τοῦτο ἀπὸ ἐκεῖνο, ὁποῦ ἔκαμε πάλαι ὁ μέγας Πατὴρ ἡμῶν καὶ Οὐρανοφάντωρ Βασίλειος; οὗτος γὰρ διὰ μίαν χήραν γυναῖκα τῶν Εὐγενῶν, ὁποῦ ἐβιάζετο τότε ἀπὸ τὸν ὕπαρχον εἰς δευτέρου γάμου κοινωνίαν, καὶ εἰς διαφέντευσιν τῆς οἰκίας σωφροσύνης, κατέφυγε πρὸς αὐτὸν, ἀντέστη γενναιοφρόνως, καὶ μετὰ χαρᾶς πρότερον ἤθελε

προτείνει εἰς σφαγὴν τὸν αὐχένα, παρὰ νὰ προδώσῃ τὴν σώφρονα ἐκείνην χήραν, καὶ περὶ τούτου ἀνάγνωθι καὶ στοχάσου πόσον ὑπερθαυμάζεται εἰς τὸν ἐπιτάφιον αὐτοῦ λόγον, ὁποῦ συνέγραψεν ὁ ὁμότροπος αὐτῷ καὶ σύγχρονος Γρηγόριος ὁ Θεολόγος.

Τῇ ἐπαύριον πάλιν συνάγεται πλῆθος πολὺ τῶν Ἀγαρηνῶν, καὶ ὡς κατὰ τοῦ Κυρίου πάλαι οἱ Ἰουδαῖοι, ἐβόων τό: Ἔνοχος θανάτου ἐστί. Τότε ὁ ἡγεμὼν ἐκβαλὼν τῆς φυλακῆς τὴν Ἁγίαν τῆς ἐπρόβαλε νὰ διαλέξῃ ἀπὸ τὰ δύο τὸ ἕν, ἤτοι δηλονότι τὸν διὰ ξίφους θάνατον, ἢ τὴν ἐξώμνυσιν τῆς θειοτάτης καὶ εὐαγοῦς ἡμῶν Λατρείας· ἀλλ' ὢ τῆς ἐκείνου ἀνοίας καὶ ματαιοφροσύνης, εἰς ποίαν πέτραν τὰ βέλη τῆς ἀθεΐας ἐδοκίμασε νὰ ῥίψῃ ὁ δείλαιος. Ἐγώ, λέγει, ὦ ἡγεμὸν, διψῶ νὰ ὑπομείνω διάφορα εἴδη κολαστηρίων διὰ τὸ ὄνομα τοῦ Χριστοῦ, τὸν ὁποῖον ἐξ ὅλης ψυχῆς καὶ καρδίας Θεὸν ἀληθινὸν καὶ ἄνθρωπον τέλειον λατρεύω καὶ προσκυνῶ, καὶ μοῦ κάμνεις μεγάλην χάριν, ἂν μίαν ὥραν προτήτερα μὲ ἤθελες ἐξαποστείλει πρὸς αὐτὸν διὰ τοῦ Μαρτυρικοῦ τοῦδε Στεφάνου. Μὲ τέτοια λόγια τῷ τυράννῳ ἀποκριθεῖσα ἡ τρισολβία καὶ φερώνυμος Φιλοθέη, βέβαια ἐντὸς ὀλίγου ἤθελε τελειωθῇ διὰ Μαρτυρίου, ἀνίσως καὶ μετ' οὐ πολὺ κατὰ θείαν ἄντικρυς βούλησιν δὲν ἤθελαν προφθάσει τινὲς τῶν Χριστιανῶν, καὶ τὴν πᾶσαν ἀλήθειαν ἐρευνήσαντες, καὶ τὸν κριτὴν καταπραΰναντες ἤθελαν τὴν ἐλευθερώσει· καὶ οὕτως ἀπῆλθεν εἰς τὰ ἴδια ἡ Ἁγία Μάρτυς ἀναίμακτος, καθὼς ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου ὁ Μυροβλύτης Νικόλαος, καὶ πάλιν μετὰ πολλῶν ἐτῶν περιόδους ὁ ἀπὸ Θεσσαλονίκης Γρηγόριος ὁ Παλαμᾶς.

Τέτοια περιστατικὰ ἄραγε νὰ ἐπροξένησαν εἰς τὴν Ἁγίαν καμμίαν ψυχρότητα, ἢ ἀμέλειαν εἰς τὸν δρόμον τῆς ἀρετῆς; οὐδαμῶς. Ἀλλ' ἔκτοτε πάλιν ἡ Παμμακάριστος τῶν μὲν ὄπισθεν ἐπιλανθανομένη, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινομένη, δὲν ἔπαυε καθ' ἑκάστην ἀπὸ τὰς συνειθισμένας της ἀγαθοεργίας, οὐ μόνον τὴν ἰδίαν της ψυχὴν κατακοσμοῦσα μὲ ὅλην τὴν καλλονὴν καὶ εὐπρέπειαν τῶν ἀρετῶν, ἀλλὰ καὶ τῶν ἄλλων, τοὺς μὲν ἐπιστηρίζουσα εἰς τὸ καλὸν, τοὺς δὲ βελτιοῦσα καὶ εἰς μετάνοιαν ἄγουσα· διὰ τοῦτο καὶ Ἀποστολικῶς διεπέρασεν εἰς τὴν νῆσον Τζίαν, ἔνθα πρὸ πολλοῦ εἶχεν οἰκοδομημένον Μετόχιον, διὰ νὰ ἀποστέλλῃ τὰς μοναζούσας ἐκείνας Παρθένους, ὁποῦ εἶχον φόβον ἀπὸ διαφόρους αἰτίας νὰ διατρίβωσιν ἐν Ἀθήναις, καὶ ἐπιμείνασα ἐκεῖ χρόνον συχνὸν, καὶ τὰς ἀσκουμένας ἀδελφὰς θεαρέστως κατηχήσασα εἰς τῆς Μοναδικῆς ζωῆς τὴν ἀκρίβειαν, ἐπέστρεψε πάλιν εἰς τὰς Ἀθήνας· τίς ἀριθμήσῃ πλέον τὰ μετὰ τὴν ἐ-

πάνοδον αὐτῆς ἔνθεα κατορθώματα; τὴν εἰς τοὺς δεομένους ἀφθονίαν, τὸ φιλόξενον, τὰς παννυχίους στάσεις, τὴν ἄκραν ἐγκράτειαν; οὕτως οὖν ἐν πράξει καὶ θεωρίᾳ τελείως τὸν ἑαυτῆς βίον ῥυθμίσασα, ἠξιώθη παρὰ Θεοῦ νὰ ἐπιτελῇ θαυμάσια, ἀπὸ τὰ ὁποῖα θέλομεν εἰπεῖ ἓν εἰς μαρτυρίαν.

Τὶς νεανίας ποιμὴν προβάτων, δεδομένος ἐκ νεαρᾶς ἡλικίας εἰς κλεψίας καὶ ἄλλας ῥαδιουργίας, κατὰ Θεοῦ παραχώρησιν κατεκρατήθη ὑπὸ τοῦ Σατανᾶ, ὅθεν γυμνὸς καὶ τετραχηλισμένος ἐφέρετο εἰς ὄρη καὶ σπήλαια, θέαμα ὄντως ἐλεεινόν· πολλάκις ὅταν ἤρχετο εἰς τὸν ἑαυτόν του ἐσύχναζεν εἰς τὰ πέριξ Μοναστήρια διὰ νὰ εὕρῃ ἰατρείαν τοῦ πάθους του, πλὴν εἰς μάτην· τέλος πάντων παρ' ἄλλων ὁδηγηθεὶς προσῆλθε καὶ τῇ Ἁγίᾳ, ἡ ὁποία εὐσπλαγχνισθεῖσα αὐτόν, μετὰ συντόνου καὶ ἐκτενοῦς προσευχῆς τὸν ἐλύτρωσε τῆς διαβολικῆς ἐκείνης μάστιγος, καὶ νουθετήσασα αὐτὸν ἱκανῶς τὸν ἐκούρευσε και Μοναχόν, καὶ οὕτως ἐπέρασε τὸ ὑπόλοιπον τῆς ζωῆς του ἐν μετανοίᾳ τε καὶ ἀσκήσει, θαυμαζόμενος ὑπὸ πάντων. Πολλοὶ λοιπόν, τόσον ἐκ τῆς ἰδίας πολιτείας τῶν Ἀθηνῶν, ὅσον καὶ ἐκ τῶν πέριξ κωμῶν, ἀκούοντες τὴν φήμην τῆς Ἁγίας, προσερχόμενοι ἐλάμβανον ψυχικὰς καὶ σωματικὰς ἰατρείας ὅθεν διὰ τὴν τοιαύτην ἐνόχλησιν καὶ διὰ τὸ πλῆθος τῶν Μοναζουσῶν, ὁποῦ καθ' ἑκάστην ἡμέραν ηὔξανον, καὶ ἐστενοχωρεῖτο τὸ Μοναστήριον, ἐπαρακινήθη ἡ Ἁγίᾳ καὶ ᾠκοδόμησε καὶ ἕτερον μακρὰν ὀλίγον τῆς πόλεως εἰς τόπον λεγόμενον Πατήσια πρὸς τελειοτέραν ἡσυχίαν τῶν ἀδελφῶν, εἰς τὸ ὁποῖον συχνάζουσα συνεφιλοσόφει καὶ συνησκεῖτο μετὰ τῶν ὑπ' αὐτήν· ὅπως δὲ ἠξιώθη ἡ Ἀείμνηστος καὶ μαρτυρικοῦ ἤδη τέλους, ἀκούσατε.

Τῶν ἐκ τῆς Ἄγαρ τινὲς τρέφοντες πρὸ πολλοῦ κατ' αὐτῆς μῖσος, καὶ ἔχθραν ἀνείκαστον διὰ τὰς αἰτίας ἐκείνας, ὁποῦ ἐν προοιμίοις εἰρήκαμεν, ἐπῆγαν διὰ νυκτὸς εἰς τὸ ἐν Πατησίοις εἰρημένον Μονύδριον (ἔτυχε δὲ τότε νὰ ἐπιτελῆται ἡ μνήμη τοῦ Ἁγίου ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρειοπαγίτου, καὶ ἡ Ἁγία μετὰ τῶν λοιπῶν ἀδελφῶν νὰ προσμένωσι τῷ Θείῳ Ναῷ, ὁλονύκτιον ἀκολουθίαν ποιοῦσαι) καὶ εἰσπηδήσαντες πέντε ἐξ αὐτῶν, ἥρπασαν τὴν Ἁγίαν, καὶ ἀπὸ τὰς περισσὰς μάστιγας καὶ τὰ τραύματα τὴν ἄφησαν σχεδὸν ἡμιθανῆ. Ἡ δὲ ἐπὶ τούτῳ πολλὰς εὐχαριστίας τῷ Θεῷ ἀναπέμψασα, μετ' ὀλίγον καιρὸν τῶν πληγῶν ἐκείνων ἐδέξατο τὸ μακάριον τέλος, καὶ ἀπῆλθε πρὸς τὰς Οὐρανίους Χοροστασίας κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν ὀγδοηκοστὸν ἔννατον ἔτος ἀπὸ Χριστοῦ, τοῦ Φεβρουαρίου Μηνὸς δεκάτην ἐνάτην.

Μετὰ δὲ εἴκοσιν ἡμέρας τῆς αὐτῆς κοιμήσεως ἐμύρισεν ὁ τόπος ἐκεῖνος, ἐν ᾧ κατέκειτο τὸ σῶμα αὐτῆς, ὁμοίως καὶ τῆς Ἀνακομιδῆς μετὰ ἐνιαύσιον παραδρομὴν γενομένης, εὑρέθη τὸ τίμιον αὐτῆς Λείψανον σῷον καὶ ἀκέραιον, καθὼς τὴν σήμερον φαίνεται, καὶ μύρου εὐώδους μεμεστωμένον εἰς λαμπρὰν ἀπόδειξιν τῆς θεαρέστου αὐτῆς καὶ ἐναρέτου διαγωγῆς, δόξαν τε καὶ αἶνον τοῦ Παντοδυνάμου καὶ Παναγάθου Θεοῦ, καὶ εἰς τιμὴν καὶ καύχημα τῆς Ὀρθοδόξου καὶ ἀμωμήτου ἡμῶν πίστεως.

Αὐτὰ εἶναι, ἀγαπητοὶ ἀδελφοὶ τῆς ἀοιδίμου καὶ ὄντως Φιλοθέου Φιλοθέης τὰ ἔνθεα κατορθώματα, τὴν ὁποίαν ἂς ἀγωνίζεται καθ'ἕνας νὰ μιμῆται τὸ κατὰ δύναμιν, ὁ μὲν τὸ εἰς τοὺς δεομένους αὐτῆς κοινωνικὸν καὶ εὐμετάδοτον, ὁ δὲ τὸ ἐν πειρασμοῖς καὶ θλίψεις καρτερικὸν καὶ εὐχάριστον· ἄλλος τὸ ἐν νηστείαις καὶ προσευχαῖς οἷον ἀσώματόν τε καὶ ἄϋλον, καὶ ἄλλος ἄλλο, ὡς ἕκαστος ἔχει κλίσεως καὶ δυνάμεως καὶ ἂς μὴ προφασιζώμεθα προφάσεις ἐν ἁμαρτίαις, λέγοντες, ὅτι τάχα αὗται αἱ θεάρεστοι καὶ ἐνάρεται πράξεις ἐγίνοντο τὸν τότε καιρὸν, καὶ τώρα ἡ φύσις ἠσθένησε, καὶ ἡμεῖς εἴμεθα ὑπὸ τὸν Ὀθωμανικὸν ζυγόν· αὗται αἱ αἰτιολογίαι εἶναι μάταιαι καὶ διαβολικαί· διότι ὁ Θεὸς, ὡς παντοδύναμος καὶ πανάγαθος, ἐπίσης πάντοτε δίδει εἰς ὅλους τὴν χάριν του, καὶ θέλει πάντας σωθῆναι παρ' ἡμῶν δὲ μόνον τὴν προαίρεσιν καὶ τὴν κλίσιν εἰς τὸ καλὸν ἀπαιτεῖ, καθὼς τὸ βλέπομεν καὶ ἀπὸ ἄλλα παραδείγματα, μάλιστα ἀπὸ τὴν προκειμένην Ἁγίαν. Δὲν ἦτον καὶ αὐτὴ φύσεως ἀσθενεστέρας καθὸ γυνή; Δὲν ἦτον εἰς καιρὸν ἐκεῖνον, καθ' ὃν τὴν σήμερον καὶ ἡμεῖς; δὲν ἀπήντησε τόσους καὶ τόσους πειρασμοὺς, καὶ ἐμπόδια εἰς τὸν δρόμον τῆς πολιτείας της; ἀλλ' ὅμως κανένα ἀπὸ αὐτὰ δὲν ἠδυνήθη νὰ παραλύσῃ, καὶ νὰ ψυχράνῃ τὴν ζέσιν καὶ ἀγάπην ὁποῦ εἶχε πρὸς τὸν Θεόν, διὰ τοῦτο καὶ ἡμεῖς ἂς ἀγωνισθῶμεν τὸν δυνατὸν τρόπον νὰ προσφέρωμεν εἰς τὸν Θεὸν κανένα καρπὸν ἀρετῆς, διὰ νὰ μὴν ἔλθῃ καιρὸς νὰ μετανοήσωμεν ἀνωφελῶς· ἂς ἐκκριζώσωμεν κἂν ἀπὸ τὴν ψυχήν μας τὰ πάθη ἐκεῖνα, ὁποῦ εἶναι ἀναπολόγητα καὶ παρὰ Θεῷ καὶ παρὰ ἀνθρώποις, λέγω τὸν φθόνον, τὴν κατάκρισιν τὴν μνησικακίαν, διὰ νὰ μὴν ἠθέλαμεν γένῃ ἔνοχοι τῆς αἰωνίου κολάσεως, ἀλλὰ θεαρέστως πολιτευσάμενοι ἠθέλαμεν ἀξιωθῇ τῆς Ἐπουρανίου Βασιλείας χάριτι καὶ φιλανθρωπίᾳ τῆς ὑπερφώτου καὶ Παναγίας Τριάδος, καὶ διὰ πρεσβειῶν τῆς Ὁσίας καὶ Θεοφόρου Μητρὸς Φιλοθέης. Ἀμήν.

[ΑΚΟΛΟΥΘΙΑ]

ΜΗΝΙ ΦΕΒΡΟΥΑΡΙῼ ΙΘʹ.

ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

ΦΙΛΟΘΕΗΣ ΤΗΣ ΕΞ ΑΘΗΝΩΝ

Ἑσπέρας ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν.
τὸ αʹ Ἀντίφωνον

Τὸ Μακάριος ἀνήρ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στιχ. ϛʹ, στιχηρὰ προσόμ. ἦχος δʹ.

[*Ὡς Γενναῖον ἐν Μάρτυσι*]. Τὸ Χρυσόχροον σκήνωμα καὶ λαμπρότατον ἄγαλμα, τὸ χυσοεπώνυμον αὖθις ἄκουσμα, ὁ πολυποίκιλος Στέφανος, τὸ στόμα τὸ πάντερπνον, ὁ ποιμὴν ὁ γαληνὸς, τῆς ἀγάπης ὁ σύνδεσμος, ὁ μελίρρυτος Ποταμὸς τῆς εἰρήνης Φιλοθέη, ὁ φωστὴρ τῶν Μοναζόντων ἀναδειχθεῖσα λαμπρότατος. [*Δίς*].

Ὡς ἀστὴρ φαεινότατος ἐν Ἀθήναις ἐπέλαμψας, καὶ ὡς μῦρον κάλλιστον, καὶ ἡδύπνοον· ὡς ἀηδὼν δὲ εὐκέλαδος, ὡς μῆλον τὸ εὔοσμον καὶ ὡς Ἥλιος φαιδρὸς, πανταχοῦ ἐξανέτειλας καὶ ἐφώτισας Μοναχῶν καὶ μιγάδων τὰς καρδίας· ὅθεν ἅπαντες ὑμνοῦμεν, σοῦ τὴν ἁγίαν Μετάστασιν. [*Δίς*].

Καὶ πτωχῶν καταφύγιον, καὶ τῶν ξένων διάσωσμα, Νεανίδων σύναξις, Μῆτερ γέγονας τῶν ἀσθενούντων ἐπίσκεψις, καὶ νόσων, καὶ θλίψεων, ἰατρὸς καὶ ὁδηγὸς, τῶν ψυχῶν καὶ σωμάτων τε· διὰ τοῦτο σε ὁ Χριστὸς ἀγαπήσας, εἰς τὰς ἄνω Οὐρανίους ἀναπαύσεις ἐνέθηκέ σε Πανένδοξε.

[*Δόξα ἦχος πλ. αʹ*], Πάντα τὰ σὰ, καὶ σεαυτὴν τῷ Θεῷ καθιέρωσας, νοῦν καὶ ψυχὴν καὶ καρδίαν καὶ σῶμα· τῆς φωνῆς γὰρ τοῦ Εὐαγγελίου ἀκούσασα, τὰ πάντα κατέλιπες χρυσὸν δὲ καὶ τιμὴν ὡς οὐδὲν ἐλογίσω, καὶ ὅλη γέγονας τοῦ Χριστοῦ οἶκος ἔνδοξος· ὅθεν καὶ ἀνέκραζες πᾶσι τοῖς φοιτῶσι πρὸς σέ: καταλείψατε τὰ φθαρτὰ, καὶ ἐπίκηρα, καὶ ποθήσατε τὸν σταυρωθέντα Χριστὸν τὸν Θεὸν ἡμῶν· διὰ τοῦτο ὁ Χριστὸς ἰδών σου τὸ εὐγενὲς τῆς ψυχῆς, ἐλθὼν παρὰ σοὶ κατοικεῖν ἠρετίσατο· αὐτὸν οὖν καθικέτευε, Φιλοθέη Χρυσόηθε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

[*Καὶ νῦν, Θεοτοκίον· ἐν τῇ Ἐρυθρᾷ. Εἴσοδος, τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας*, καὶ *τὰ ἀναγνώσματα. Σοφίας Σολομῶντος*

τὸ *Ἀνάγνωσμα*]. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος, ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν Ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ Ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ Πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς Ἐκλεκτοῖς αὐτοῦ.

[*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*]. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν· καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς Εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνης καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφθήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ Θαλάσσης· Ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀναστήσεται αὐτοῖς Πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει Θρόνους δυναστῶν· ἀκούσατε οὖν Βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, ἡ δυναστεία παρὰ Ὑψίστου.

[*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα*]. Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος, εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσει ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν

ἄκακον· τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ τῇ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χαρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ Ἐπισκοπὴ ἐν τοῖς Ἐκλεκτοῖς αὐτοῦ.

[*Καὶ ἡ συνήθης Ἐκτενὴς εἰς τὴν Λιτὴν στιχηρὰ ἦχος α'*]· Ἡ σοφὴ Φιλοθέη σήμερον εἰς οὐρανοὺς ἀνελθοῦσα, τῷ ἐν Τριάδι Θεῷ συμπαρίσταται, καὶ τὸν Τρισάγιον Ὕμνον ᾄδει ἀκαταπαύστως, σὺν τοῖς ἀΰλοις Χοροῖς, καὶ τοῖς Ἁγίοις ἅπασι, δεῦτε οὖν καὶ ἡμεῖς δοξάσωμεν τὴν Ἁγίαν αὐτῆς Κοίμησιν, ἐν ψαλμοῖς καὶ Ὕμνοις βοῶντες πρὸς αὐτὴν, ταῖς πρεσβείαις σου, Μῆτερ, σῶζε τὴν ποίμνην σου, καὶ διαφύλαττε ταύτην ἐκ τῶν σκανδάλων τοῦ πολεμήτορος. Εὐφημήσωμεν οἱ Πιστοὶ τὴν Φιλοθέην σήμερον· καλῶς γὰρ ἀγωνισαμένη, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἐπ' ὤμων βαστάσασα, ἀόκνως τὰς τούτου ἐντολὰς τελέσασα, οἰκητήριον γέγονε τοῦ Ἁγιου Πνεύματος, νῦν δὲ καταλιποῦσα τὰ ἐν Κόσμῳ τοῖς Οὐρανίοις συναγάλλεται Ταξιαρχίαις, καὶ πρεσβεύει τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

[*Ἦχος β'*]. Τοῦ πλούτου τὴν ποσότητα, ἐν ταῖς τῶν πτωχῶν χερσὶ παραθεμένη, ἀντὶ τούτου ἐκτήσω Πλοῦτον Οὐράνιον· δοξας δὲ καὶ ἡδονὰς καταφρονήσασα, καὶ ἀσκητικῶς διελθοῦσα, πειρασμούς τε πολλοὺς ὑπενήνοχας, μαρτυρικῶς τὸ ζῆν ἀφαιρεθεῖσα καρτερώτατα, δι' ἀγάπην τοῦ Κτίσαντος, Φιλοθέη Πανέντιμε· αὐτὸν οὖν πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

[*Ὁ αὐτός*]. Ὁσία Μῆτερ, Ἀγγελικὴν ζηλώσασα διαγωγήν, ἀσιτίαν ἐξήσκησας, καὶ Ὕμνον ἀκατάπαυστον τῷ Δεπότῃ προσήνεγκας· ἐντεῦθεν προσκάμενος ὁ βλέπων τὰ κρύφια, τῆς ψυχῆς σου τὴν πρόθεσιν, χαρίτων σε θείων κατηξίωσεν, ἐναργῆ σοι παρέχων τὰ σύμβολα τῆς ἐκεῖ μενούσης σε ἀϊδίου Μακαριότητος, πρὸς ἣν ἤδη μεταστᾶσα, καὶ ταῖς ἀΰλοις Χορίαις συνδιαιτωμένη, μὴ διαλίπῃς πρεσβεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

[*Δόξα ἦχος πλ. δ'*]. Ἡ καθαρὰ τοῦ πνεύματος τοῦ Ἁγίου Σοφία, σκηνώσασα ἐν τῇ καθαρᾷ καρδίᾳ σου, Παμμακάριστε Φολοθέη, κατὰ πνευμάτων τῆς πονηρίας φοβερόν σε διώκτην ἀνέδειξε, καὶ μεγίστων νοσημάτων Ἰατῆρα Πανάριστον, διὸ παρρησίαν κεκτημένη πρὸς τὸν φιλάνθρωπον Θεὸν τῇ ἀπαύστῳ πρεσβείᾳ σου, τῶν ψυχικῶν ἡμᾶς παθῶν καὶ σωματικῶν ἐλευθέρωσον.

[*Καὶ νῦν Θεοτοκίον. Δέσποινα πρόσδεξαι. Εἰς τὸν στίχ. στιχηρὰ ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν ἀληθῶς*]. Χαίροις ὁ γαληνότατος

νοῦς, ἡ ἱλαρὰ καὶ τῇ μορφῇ καὶ τοῖς ὄμμασιν, ἡ πράξει καὶ θεωρίᾳ κεκοσμηκυῖα σαυτὴν, καὶ τὸν νοῦν ὑψώσασα πρὸς Κύριον, ὁρῶσα τὴν τούτου ἀληθῆ δόξαν ἔνδοξε. καὶ λαμπομένη παρ' αὐτοῦ θείαν ἔλαμψιν, ἀξιάγαστε Φιλοθέη ἀείμνηστε· μέμνησο οὖν πρὸς Κύριον, δεόμεθα Πάντερπνε, τῶν ἐκτελούντων τὴν μνήμην καὶ προσκυνούντων τὰ λείψανα, τυχεῖν σαῖς πρεσβείαις, σωτηρίας, καὶ εἰρήνης, καὶ τοῦ ἐλέους αὐτοῦ.

[*Ὑπομένων ὑπέμεινα τὸν Κύριον*]. Χαίροις μοναζουσῶν καλλονὴ, καὶ τῶν μιγάδων ἀδιάσειστον ἔρεισμα, καὶ πάντων τῶν πενομένων καὶ τῶν νοσούντων ὁμοῦ, καὶ νηπίων μέγα καταφύγιον, καὶ ξένων ἐπίσκεψις, ὀρφανῶν παραμύθιον. Μήτηρ γὰρ τούτων, καὶ ποιμὴν ἐχρημάτισας, καὶ διέσωσας ἀπὸ ζάλης καὶ θλίψεως· ὅθεν τὴν μακαρίαν σου καὶ Θείαν Μετάστασιν, ἀνευφημοῦμεν Ὁσία, καὶ μεγαλύνομεν σήμερον, Σεπτὴ Φιλοθέη· διὸ πρέσβευε Κυρίῳ ἐλεηθῆναι ἡμᾶς.

[*Καὶ ἔστησαν ἐπὶ πέτραν*]. Πάντας τοὺς πρὸ Χριστοῦ τοῦ Θεοῦ, καὶ μετὰ τοῦτον ἐναρέτους ἐζήλωσας· Δαυὶδ γὰρ τὸ πρᾷον ἔσχες, καὶ Σολομῶντος, σεμνὴ, τὴν Σοφίαν ὄντως τὴν πανθαύμαστον, Σαμψὼν τὴν ἀνδρείαν, καὶ Ἀβραὰμ τὸ φιλόξενον. ὑπομονήν τε τοῦ Ἰώβ, τοῦ Προδρόμου δὲ θείαν ἄσκησιν, Ἀντωνίου καὶ Σάββα τε, χρύσεα ἤθη, Μῆτερ μου, σεπτοῦ Χρυσορρήμονος, καὶ τῶν Ἁγίων ἁπάντων τὰ ἀγλαὰ κατορθώματα. Διὸ καὶ χορεύεις μετὰ πάντων τῶν Ἀγγέλων, καὶ τῶν Ὁσίων Σεμνή.

[*Δόξα ἦχος πλ. β'.*] Μνήμη Δικαίου Σολομὼν φησὶ μετ' ἐγκωμίων τελεῖται καὶ ὁ λαὸς σὺν αὐτῷ ἀγάλλεται· τοῦτο γὰρ αὐτὸς αἰνιττόμενος ἐφθέγξατο, ἐγκωμιαζομένου Δικαίου εὐφρανθήσονται λαοί· διὸ Μῆτερ Φιλοθέη καὶ ἡμεῖς πιστῶς τὴν μνήμην σου τιμῶντες καὶ προσκυνοῦντες ἀξίως, τὸ θεῖον καὶ σεβάσμιόν σου Σκῆνος, ἐν ψαλμοῖς καὶ ὕμνοις φιλοφρόνως ἐγκωμιάζομεν· πρέσβευε οὖν δεόμεθα, ὑπὲρ εἰρήνης τοῦ Κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

[*Καὶ νῦν Θεοτοκίον. Θεοτόκε σὺ ἡ ἄμπελος, τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον. Τροπάριον. Ἐν σοὶ Μῆτερ ἀκριβῶς διεσώθη. Καὶ ἡ εὐλόγησις τῶν ἄρτων. Εἰς τὸν Ὄρθον μετὰ τὴν α' Στιχολογίαν Κάθισμα, ἦχος δ'. Ταχὺ προκατάλαβε*]. Ἀνέδειξε σήμερον τὴν Φιλοθέην πιστοὶ, ἡ θεία Μητρόπολις τῶν Ἀθηνῶν καὶ λαμπρὰ, ὡς μέγα θησαύρισμα· πάντες οὖν ἐν αἰνέσει ἐν τῇ ταύτης κηδείᾳ, ᾄσμασι θεηγόροις εὐφημήσωμεν ταύτην, βοῶντες ταύτῃ ἐκτενῶς· σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου. [*Δίς*].

[*Θεοτοκίον. Ὅμοιον*]. Τὴν χάριν νῦν ἅπαντες ἀνευφημήσωμεν

Μητρὸς, τοῦ Θεοῦ ἡμῶν, ὡς δι' αὐτῆς τὴν χαρὰν τῷ Κόσμῳ αὐγάσαντος, λύσιν τῆς ἁμαρτίας, εὑραμένη ἡ φύσις ἅπασα τῶν ἀνθρώπων, γηθομένη κραυγάζει, εὐχαῖς αὐτῆς Κύριε ῥῦσαι ἡμῶν τῶν δεινῶν.

[*Μετὰ τὴν β'. Στιχολ. Κάθισμα, ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον*]. Καθαρθεῖσα τὸ σῶμα καὶ τὴν ψυχὴν, καὶ τὰς φρένας, καρδίαν καὶ λογισμὸν, δοχεῖον γεγένησαι καὶ λαμπρὸν οἰκητήριον τῆς Ἁγίας Τριάδος, Ὁσία ἀοίδιμε. Ὅθεν συνελθόντες οἱ πιστοὶ κατὰ χρέος, γεραίρομεν ἅπαντες τὴν ἁγίαν σου κοίμησιν, καὶ πιστῶς ἐκβοῶμεν σοι Φιλοθέη ἀείμνηστε, πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου [*Δίς*].

[*Θεοτοκίον ὅμοιον*]. Ἀστραπόμορφον ἅρμα Βασιλικὸν, πορφυρίζουσα κλίνη, Θρόνε χρυσέ, παλάτιον πάντερπνον, καὶ παστὰς θεαυγέστατε, παναγιωτάτη σκηνὴ ἀλουργόχροε ὡραϊσμένη πύλη, ναὲ Θεοδόξαστε, ὄχημα τοῦ Λόγου τὸ παγκόσμιον ὄντως, καὶ κλῖμαξ χρυσόπλοκε, χρυσαγίζουσα γέφυρα, καὶ χρυσήλατε τράπεζα· χαῖρε θεία λαβίς, καὶ φωτώνυμε παναγιωτάτη Μήτηρ Θεοῦ τοῦ Παντάνακτος. [*Ἕτερον Κάθισμα μετὰ τὸν πολυέλεον ἦχος δ'. Κατεπλάγη Ἰωσήφ*].

Δεῦτε πάντες οἱ πιστοί, ἐν ὑμνῳδίαις ἱεραῖς, καταστέψωμεν φαιδρῶς καὶ μεγαλύνωμεν πιστῶς, τὴν ἐν Ἀθήναις ἐκλάμψασαν εὐσεβοφρόνως καὶ κράξωμεν αὐτῇ ἐν κατανύξει ψυχῆς καὶ χείλεσιν ἁγνοῖς, καὶ ἐν καρδίᾳ φαιδρᾷ, παρισταμένη Μῆτερ σὺν πᾶσι τοῖς Ἁγίοις, ἐν τῷ φωτὶ τοῦ Παντάνακτος, πρεσβείαν ποίει ὑπὲρ τῶν δούλων, τῶν πιστῶς εὐφημούντων σε.

[*Θεοτοκίον. Ὅμοιον*]. Δοχεῖον ὤφθης ἐκλεκτὸν, Παρθενομῆτορ Μαριάμ, καὶ Θρόνος πύρινος Θεοῦ, καὶ κλίνη πάγχρυσος σεμνὴ, πεποικιλμένη καθέδρα τοῦ Βασιλέως, οἶκος καὶ Παλάτιον πάντερπνον, Νεφέλη χρυσαυγὴς καὶ ἀείφωτος, καὶ κιβωτὸς καὶ στάμνος μαννάδοχος, καὶ χρυσοπόρφυρος θάλαμος. Διὸ τὸ χαῖρε σὺν τῷ Ἀγγέλῳ καὶ ἡμεῖς μελῳδοῦμέν σοι.

[*Τὸ ά Ἀντίφωνον τοῦ δ' ἤχου· προκείμενον. Ὑπομένων ὑπέμεινα τὸν Κύριον. Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον Ὁσιακόν. Δόξα, Ταῖς τῆς Φιλοθέης. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Εἶτα Ἐλέησόν με ὁ Θεὸς κατὰ τό, Ἰδιόμελον, ἦχος πλ. β'*]. Μῦρον ἐν Ἀθήναις ἀνεδείχθης Φιλοθέη χρυσόηθε, μυρίζουσα τὰς καρδίας τῶν πιστῶν τοῖς μυριπνόοις σου διδάγμασιν· ἀλλὰ μύρισον καὶ ἡμῶν τὰς καρδίας νοητῶς τῶν ἐν πίστει τελούντων τὴν σεβάσμιον μνήμην σου.

[*Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός. Καὶ οἱ Κανόνες· ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ς' καὶ τῆς ὁσίας εἰς η. Ὁ Κανὼν τῆς Θε.-*

τόκου. Οὗ ἡ ἀκροστιχίς. Χαίροις χαρᾶς σκήνωμα τῆς λύπης λύσις. Ὠδὴ ά. ἦχος πλ. δ'. Ὁ εἱρμὸς Ἁρματηλάτην Φαραώ]. Χαῖρε κατάρας παλαιᾶς ἡ λύτρωσις, καὶ εὐλογίας πηγή, χαῖρε ζωῆς Μήτηρ, ᾅδου ἡ καθαίρεσις, θανάτου ἡ ἀναίρεσις, χαῖρε λύσις τῆς λύπης, χαρᾶς χωρίον εὐρύχωρον, χαῖρε Θεοτόκε Πανύμνητε.

Ἅρμα τοῦ λόγου λογικὸν καὶ ἔμψυχον, χαῖρε Πανάμωμε, Δαβιτικὸν χαῖρε ἅρμα πολυώνυμον, ἅρμα μυριοπλάσιον· χαῖρε ἡ ἀσυγκρίτως τῶν Χερουβὶμ ὑπερέχουσα, καὶ τῶν Σεραφὶμ ὑπερτέρουσα.

Ἱερωτέρα νοερῶν Δυνάμεων, χαῖρε Θεόνυμφε, χαῖρε κτιστῆς πάσης ἀνωτέρα φύσεως, χαῖρε Θεοῦ Παλάτιον, χαῖρε πύρινε Θρόνε, χαῖρε Λυχνία πολύφωτε, χαῖρε μυριώνυμε Δέσποινα.

Ῥάβδος ἐκ ῥίζης Ἰεσσαὶ βλαστήσασα, χαῖρε Ἀμόλυντε, χαῖρε βλαστῷ Ῥάβδου τῆς Ἀαρωνίτιδος διαγραφεῖσα πρότερον, μυστικῶς καὶ βαθέως· ὡς γὰρ ἐκείνη τὰ κάρυα, οὕτω τὸν Χριστὸν σὺ ἐξήνθησας. *[Ἕτερος Κανὼν τῆς Ἁγίας. Οὗ ἡ ἀκροστιχίς. Μέλος σοι τερπνὸν ὦ Θεοῦ φίλη ᾄδω. Ἰσαάκ. Ὠδὴ ά. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου]*.

Μονὰς ἃς ἐπόθησας, τὰς Οὐρανίους Θεόλεκτε, νῦν εὗρες ὦ Μῆτερ μου μισθὸν τῶν πόνων σου, ὧν ὑπήνεγκας ἐν τῷ παρόντι βίῳ, εὐχαῖς και δεήσεσι Κυρίῳ ᾄδουσα.

Ἐλέους σὺ ἄφθονος πηγὴ Ὁσία τεθέασαι, πτωχοὺς καταρδεύουσα πλουσιωσάταις ῥοαῖς· ὅθεν Σέφανον, σῇ κορυφῇ ἐδέξω, ἀξίως ὧν ἔσπειρας σῶν γεωργίων καρπόν.

Λαλεῖν σοι οὐ δύναμαι τῶν ἀρετῶν τὴν εὐπρέπειαν, και ὕψος τὸ ἔνθεον, ᾧ ὡραΐσθης σεμνή, καὶ ἀνύψωσας πρὸς τὰς ἐπουρανίους σκηνὰς καὶ δεδόξασαι παρὰ τοῦ πάντων Θεοῦ.

Ὁλόκληρον φύλαττε τὴν ποίμνην Πάναγνε Δέσποινα, Μαρία Θεόνυμφε, ἣν ἡ Φιλόθεος κατῳκήσατο, ἐνθάδε τοῦ δοξάζειν τὸν ἄσπορον τόκον σου, καὶ σὲ Παρθένε Ἁγνή.

[Καταβασία Ἀνοίξω τὸ στόμα μου. Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος]. Ἰσχυρότατον ὅπλον, χαῖρε πιστῶν Δέσποινα, χαῖρε κραταιὰ προστασία, χαῖρε ἀντίληψις, χαῖρε βοήθειαν, ἁμαρτωλῶν χαῖρε τεῖχος, τῶν προσκαλουμένων σε, χαῖρε τοῦ Κόσμου χαρά.

Σωτηρίας ἀνθρώπων χαῖρε στεῤῥὸν ἔρεισμα, χαῖρε τοῦ Ἀδὰμ καὶ τῆς Εὔας ἡ ἐπανάκλησις. Δι' ἧς ἀπέλαβον τὴν παλαιὰν εὐκληρίαν, χαῖρε ἡ ἀνοίξασα πάλιν Παράδεισον.

Χαῖρε ἄφλεκτε βάτε, χαῖρε φωτὸς ὄχημα, χαῖρε τοῦ Ἡλίου νεφέλη, χαῖρε περίδοξε, καὶ περιλάλητε τοῦ Βασιλέως καθέδρα, χαῖρε πόλις ἔμψυχε Χριστοῦ τοῦ ζῶντος Θεοῦ.

Ἀπειρόγαμε Μῆτερ, χαῖρε Ἁγνὴ Δέσποινα, χαῖρε ἡ ἀνήρωτος χώρα καὶ ἀγεώργητος, ἡ γεωργήσασα τὸν γεωργὸν τῶν ἁπάντων, χαῖρε γῆ ἀλήθειαν ἡ ἀνατείλασα.

[*Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους*] Σὺ τὸν πλοῦτον ἔνειμας Ὁσία, τὸν σὸν δεομένοις τὸν ῥευστόν· καὶ γὰρ ἐν τούτῳ πάνσεπτε καυχᾶσθαι οὐ προῄρησαι, ἀλλ' ἀντὶ τούτου δέδεξαι σὺ κορυφῇ Δόξης στέφανον.

Σαῖς προσευχαῖς πρὸς τὸν Δεσπότην, περίσωζε ἀεὶ τὴν ποίμνην τὴν σὴν καταγεραίρουσάν σε Πάνσεμνε, ὡς Θεῖον ἐνδιαίτημα, ἐν οἴκῳ τοῦ Θεοῦ ἡμῶν, κατὰ δαιμόνων ἐνίσχυσον.

Ὁδὸν τὴν ἀπάγουσαν εἰς ἄνω εὑροῦσα διώδευσας σεμνῶς· ὅθεν καὶ πρὸς Οὐράνιον ἐλήλυθας πολίτευμα, καὶ τοῖς Ὁσίοις ἅπασιν, Ὁσία συγκαταρίθμησαι.

[*Θεοτοκίον*]. Ἰάσεις παρέχουσα παντοίας, τοῖς πόθῳ τιμῶσί σου Ἁγνὴ, τὸν Τόκον τὸν ἐκ πνεύματος, Ἁγίου συλληφθέντα σοι, παράσχου καὶ τοῖς δούλοις σου ἡμῖν πταισμάτων τὴν ἄφεσιν

[*Καταβασία. Τοὺς σοὺς ὑμνολόγους. Κάθισμα, ἦχος πλ. δ'., Τὸ προσταχθέν*]. Καταλιποῦσα τὰ τῆς γῆς, ὦ Φιλοθέη, μετέστης ἄνω πρὸς μονὰς τὰς Οὐρανίους, καὶ πρεσβεύεις σὺν πᾶσι τοῖς ἐπουρανίοις, Ὁσίοις ἅμα δικαίοις καὶ τοῖς λοιποῖς, καὶ πᾶσι τοῖς ἄνω Νόοις καὶ λειτουργοῖς, καὶ κραυγάζεις τὸ Ἅγιος, Ἅγιος εἶ Θεὲ ὑπεράγαθε, σῶζε πάντας οὓς ἔπλασας. [*Δίς*].

[*Θεοτοκίον. Ὅμοιον.*] Θεοχαρίτωτε Ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν πρὸ τοῦ τέλους συγχώρησιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

[*Ὠδὴ δ', Σύ μου ἰσχὺς Κύριε, σύ μου καὶ δύναμις*]. Ἀνατολὴ, τοῦ Πατρικοῦ ἀπαυγάσματος, καὶ Ἡλίου τοῦ ἐξανατείλαντος πρὸ ἑωσφόρου ἐκ τοῦ Πατρός. Χαῖρε Θεοτόκε, νεφέλη κούφη καὶ ἔμψυχε, Παρθένε χαῖρε Μήτηρ, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη Παναμώμε.

Σὺ τὸ χρυσοῦν, θυμιατήριον Δέσποινα τοῦ ἀστέκτου καὶ ἀΰλου ἄνθρακος, ἐνῷ ἐκαύθη διαρραγὲν τῆς Ἀδαμιαίας παρακοῆς τὸ χειρόγραφον, διό σοι χαῖρε κράζω, δι' ἧς πᾶσιν ἐδόθη ἡ χαρὰ καὶ τρυφὴ καὶ ἀπόλαυσις.

Σὺ τῶν βροτῶν, δόξα καὶ κλέος, καὶ καύχημα, καὶ Ἀγγέλων στέφος καὶ διάδημα, διὸ ἡ γῆ καὶ ὁ Οὐρανὸς μίαν Ἐκκλησίαν στη-

σάμενοι παναρμόνιον, τὸ χαῖρέ σοι βοῶμεν, χαῖρε Δέσποινα Κόσμου, χαῖρε πάντων ἀνθρώπων βοήθεια.

Κλίνη σεπτὴ, ἣν Σολομῶν προδιέγραψε, κυκλουμένη δυνατοῖς ἑξήκοντα, χαῖρε Παρθένε ἡ κιβωτὸς, ἡ κεχρυσωμένη τοῦ νοητοῦ ἁγιάσματος, λαβὶς ἡ θεία χαῖρε, χαῖρε βάτε πυρφόρε, χαῖρε πύλη ἡ κλίμαξ, καὶ γέφυρα.

[*Ἄλλος. Ὁ καθήμενος ἐν δόξῃ*]. Τὴν Ὁσίαν Φιλοθέην, φιλοφρόνως τιμήσωμεν, ἐν ᾠδαῖς ᾀσμάτων, ταύτην εὐσεβῶς μεγαλύνοντες· αὕτη γὰρ ὤφθη δοχεῖον Θείου Πνεύματος, καὶ πεφωτισται τούτου ταῖς θείαις λαμπρότησιν.

Ἐπὶ θρόνου καθημένη Θείας δόξης πανθαύμαστε, τοὺς τὴν σὴν τελοῦντας μνήμην εὐσεβῶς διαφύλαττε, ταῖς σαῖς πρεσβείαις ὦ Μῆτερ, ταῖς πρὸς Κύριον, ᾧ βοᾷς ἀεί, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ῥωμαλαίᾳ διανοίᾳ, καὶ γενναίῳ φρονήματι, τὰς Κυρίου Μῆτερ πάσας ἐντολὰς ἐκτετέλεκας, ὡς κτησαμένη ἀγάπην τὴν πρὸς Κύριον, καὶ τοὺς πέλας τελείαν Ὁσία ἀείμνηστε.

[*Θεοτοκίον*]. Παναγία Θεοτόκε, τοὺς εἰς σὲ καταφεύγοντας, ἐκ κινδύνων ῥῦσαι πάντων καὶ σκανδάλων τοῦ ὄφεως, τῆς Φιλοθέης πρεσβείαις ἣν δοξάζομεν, μετὰ σὲ γὰρ ὤφθη Κυρίῳ δουλεύουσα.

[*Καταβασία. Τὴν ἀνεξιχνίαστον. Ὠδὴ ε΄ Ἵνα τί μὲ ἀπώσω*]

Νοερὰν Σατραπείαν, καὶ τυραννικὴν ἐναέριον φάλαγγα, παρελθεῖν ἀλύπως, ἐν καιρῷ τῆς ἐξόδου μου παρέσχε· Ἵνα σοι τὸ χαῖρε χαρμονικῶς Δέσποινα κράζω, χαῖρε πάντων ἐλπὶς ἀκαταίσχυντε.

Ὡς χαρὰν συλλαβοῦσα, χαῖρε Ὑπεράμωμε, χαῖρε Ὑπέραγνε, χαῖρε τῆς ἁγνοίας πορφυρόχροον ἄνθος ἡδύπνοον, χαῖρε Παρθενίας, κοκκοβαφὲς τὸ ἐρυθρὸν ῥόδον, καὶ Θεοῦ εὐῶδες ὀσφράδιον.

Μυστικὴ μυροθήκη, χαῖρε τὸ ἡδύπνοον μῦρον ἡ βρύουσα, χαῖρε κρήνη Θεία ἡ τὸ ὕδωρ τὸ ζῶν ἀναβλύζουσα, χαῖρε ἡ τὸν βότρυν τὸν τῆς ζωῆς καρποφοροῦσα, ἀγεώργητος ἄμπελος Δέσποινα.

Ἀδιόδευτε πύλη, χαῖρε ἣν διώδευσο Χριστὸς ὁ Κύριος, Παραδείσου πύλας ἡ ἀνοίξασα χαῖρε τὸ τόκῳ σου, χαῖρε δι' ἧς χαῖρε, ὁ Οὐρανὸς καὶ Γῆ χορεύει, ἡ τὰ ἄνω συνάψασα.

[*Ἄλλος. Ἐξέστη τὰ σύμπαντα*]. Μονὴν τὴν φερέσβιον εὑροῦσα κατετρύφησας πᾶσαν θειοτέραν θεωρίαν, δι' ἧς ἀνήχθης εἰς θείαν ὄντως ζωὴν, καὶ γέγονας πᾶσι τοῖς πιστῶς ἐπικαλουμένοις σε ἐναντίων ὑπέρμαχος.

Ὁ βίος σου ἔνθεος, καὶ ἀρεταὶ θαυμάσιαι, καὶ τὰ κατορθώματα

γενναῖα, ὅθεν καὶ δόξης πλείστης ἠξίωσαι τῆς ἄνωθεν, Μῆτερ, ἐκ Θεοῦ, ὅνπερ καθικέτευε ὑπὲρ τῶν ἀνυμνούντων σε.

Νοῦς ἅπας ἀνθρώπινος ἀδύνατον λογίσασθαι τοὺς κινδύνους, Μῆτερ, καὶ τὰς θλίψεις, ἅςπερ ὑπέστης *ὑπὸ τῶν ἔξωθεν*[1], ἀκλόνητον σχοῦσα λογισμὸν πίστει τῇ πρὸς τὸν Κύριον, οὗ τὸν λόγον τετήρηκας.

[*Θεοτόκιον*]. Ὦ Πάναγνε Δέσποινα, τὸν Κύριον ἡ τέξασα, σῶζε τοὺς εἰς σὲ τεθαρρηκότας, καὶ τῆς μελλούσης πάντας κολάσεως ἀπάλλαξον, Ἄχραντε σεμνή, παρησίαν ἔχουσα μητρικὴν πρὸς τὸν Κύριον.

[*Καταβασία. Ἐξέστη τὰ σύμπαντα. Ὠδὴ ς'. Τὴν δέησιν ἐκχεῶ*]. Ἡ ἔμψυχος χαῖρε Δέσποινα Κόχλος, ἡ κογχύλη σῶν ἀχράντων αἱμάτων, πορφυραυγῆ ἐρυθρὰν ἀλουργίδα τῷ τοῦ παντὸς βασιλεῖ πορφυρώσασα, τὴν γύμνωσιν τὴν τοῦ Ἀδὰμ ἡ καλύψασα χαῖρε Πανύμνητε.

Στηρίζει μὲν τὰς καρδίας ἀνθρώπων φυσικῶς ὁ αἰσθητὸς οὗτος ἄρτος, Χριστιανῶν τὰς καρδίας κρατύνει τὸ σὸν ᾀδόμενον Ἅγιον Ὄνομα, ἐντεῦθεν χαρμονικὸν πᾶσα γλῶσσα τὸ χαῖρε κραυγάζει σοι.

Λυχνία ἡ χρυσαυγίζουσα χαῖρε Κιβωτὸς ἡ Θεοχώρητος χαῖρε, χαῖρε Σκηνή, χαῖρε Ἅγιον Ὄρος, χαῖρε τοῦ ζῶντος Θεοῦ πόλις ἔμψυχε, παλάτιον χαῖρε Θεοῦ, χαῖρε τέμενος Θεῖον Πολύφωτον.

Ὑπέραγνε, ὑπεράμωμε χαῖρε, τὸ τῆς φύσεως ἐξαίρετον ἄνθος, χαῖρε κοινὴ τῶν ἀνθρώπων τοῦ γένους φιλοτιμία, καὶ χάρις Θεόσδοτος, τὴν ἄτιμον φύσιν τῶν βροτῶν ἡ τιμήσασα χαῖρε τῷ τόκῳ σου.

[*Ἄλλος. Τὴν θείαν ταύτην καὶ πάντιμον*]. Θεοῦ ὡς Παῦλος ὑπάρξασα, γεώργιον Ὁσία ἀπέδωκας ἑκατοστεύοντα, τῶν ἀρετῶν σου τὸν ἔνθεον καρπὸν Χριστῷ τῷ σὲ γεωργήσαντι.

Ἐκπλήττει πᾶσαν διάνοιαν βροτῶν τὰ παρὰ σοῦ νῦν τελούμενα, ψυχὰς ἀνθέλκεις γὰρ ἐζοφωμένας τοῖς πταίσμασι πρὸς Θεῖον φῶς Ὁσία τοῖς σοῖς διδάγμασι.

Ὁσία ὧδε διάξασα ζωὴν ἣν εὗρες Μῆτερ Οὐράνιον, ἧς καθικέτευε ἀξιωθῆναι τοὺς δούλους σου, τοὺς σὲ νῦν εὐλαβῶς μακαρίζοντας.

[*Θεοτοκίον*]. Ὑμνοῦμεν ἄχραντε Δέσποινα, τὸν τόκον σου ἀσπόρως ἐκλάμψαντα, ἐκ σοῦ Θεόνυμφε, καὶ σὲ Παρθένε γεραίρομεν, ᾠδαῖς ἀπαύστοις ὡς ἁγνὴν Θεομήτορα.

[*Καταβασία. Τὴν Θείαν ταύτην καὶ πάντιμον. Κοντάκιον, ἦχος γ'. Ἡ Παρθένος σήμερον*]. Μνηστευθεῖσα ἄμωμε τῷ τοῦ Πατρὸς θείῳ Λόγῳ, καθαρὰν καὶ ἄσπιλον αὐτῷ σαυτὴν διετήρεις, ὅθεν σε πρὸς

[1]Δηλ. τῶν Τούρκων.

τὸν νυμφῶνα τῆς ἄνω δόξης κέκληκεν ὁ σὸς Νυμφίος, ᾧ συναγάλλῃ καὶ πρεσβεύεις Φιλοθέη, σωθῆναι πάντας ἡμᾶς ἀξιάγαστε.

[*Ὁ Οἶκος*]. Πᾶσα γλῶσσα κινείσθω πρὸς εὐφημίαν τῆς Πανευφήμου Φιλοθέης· ἅπαν Γένος καὶ ἡλικία πᾶσα· νεανίσκοι καὶ παρθένοι τοῦ Χριστοῦ τὴν μυροβλύτιδα ἐγκωμίοις καταστέψωμεν· νομίμως γὰρ ἀνδρισαμένη, καὶ τὸ χαῦνον τοῦ θήλεως ἀπορρίψασα, δι' ἀσκητικῶν πόνων τὸν τύραννον ἐχθρὸν καταβέβληκεν Οὐρανίῳ δὲ καὶ Θείῳ στέφει κοσμουμένη αἰτεῖται παρὰ Χριστοῦ δοθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

. . . .[1]

[*Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν*]. Ἡ μόνη Ἀπείρανδρος, ἡ μόνη Ἄφθορος, χαῖρε Δέσποινα, ἡ Παρθένος καὶ Μήτηρ, ἡ παιδοτόκος καὶ ἀπειρόγαμος, τὸ ξένον χαῖρε καὶ φρικτὸν Μυστήριον, χαῖρε Ἀγγέλων τρυφή, χαῖρε Ἀγγέλων χαρά.

Σιὼν πόλις ἔμψυχε, τοῦ Βασιλέως τῶν Βασιλέων Χριστοῦ, περὶ ἧς ἐλαλήθη δεδοξασμένα, χαῖρε Θεόνυμφε, χαῖρε ἡ κλίμαξ, δι' ἧς μεταβαίνομεν πρὸς Οὐρανὸν ἀπὸ γῆς καὶ ἐκ φθορᾶς εἰς ζωήν.

Λειμὼν Θεοφύτευτος εὐώδης, κῆπος Θεοβλαστούργητος, ἀνεδείχθης Παρθένε, ἀθανασίας Ἄνθος ἀνθήσασα, διὸ συμφώνως τὸ χαῖρέ σοι κράζομεν, χαῖρε χαρᾶς χορηγέ, χαῖρε πηγὴ γλυκασμοῦ.

Ὑπέρτιμε Δέσποινα, ἐξ ἀτιμίας παθῶν με λύτρωσαι, ἵνα σοι χαρμοσύνως τὸ χαῖρε κράζω, χαῖρε ἁγνείας πηγή, χαῖρε ταμεῖον πάσης καθαρότητος, χαῖρε δοχεῖον Θεοῦ, χαῖρε χωρίον Χριστοῦ.

[*Ἄλλος. Ὁ διασώσας ἐν πυρί*]. Φαεινοτάταις ἀστραπαῖς τῆς Ὑπερουσίου Τριάδος καταλαμπρύνασα τὸν νοῦν, βοᾷς σὺν Ἀγγέλοις, ᾗ παρίσταται ὑπερύμνητε Κύριε ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ἱερωτάτοις λειτουργοῖς τοῖς παρισταμένοις τῷ Θρόνῳ τῆς τρισηλίου ἀστραπῆς τοῦ Θεοῦ, συγχορεύεις κραυγάζουσα, ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Λιμένα εὔδιον ψυχῶν, Μῆτερ, δειμαμένη, τοὺς ζάλῃ καὶ τρικυμίαις τῶν παθῶν ναυαγοῦντας γαλήνης ἠξίωσας· ὅθεν οἱ σωθέντες κραυγάζουσιν, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

[*Θεοτοκίον*]. Ἡ τὸν προάναρχον Υἱόν, Μῆτερ, τοῦ Πατρὸς δεξαμένη ἐν τῇ γαστρί σου μητρικῶς σὸν Υἱὸν ἐκδυσώπει ποίμνην τηρεῖν τῆς Φιλοθέης ᾄδουσαν ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

[*Ὠδὴ η΄. Εὐλογεῖτε παῖδες*]. Ἰεσσαὶ ἐκ ῥίζης χαῖρε ῥάβδος βλαστήσασα, χαῖρε ἀποτίστως ἀνθηφοροῦσα ἄνθος τὸν Χριστὸν ὡραῖον,

[1] Ἐνταῦθα τό: «Βίος καὶ Πολιτεία».

χαῖρε πῖον Ὄρος, χαῖρε κατάσκιον, χαῖρε Θεοῦ Οἶκος, ἐν ᾧ κατοικεῖν ὁ λόγος πάντων εὐδόκησε πρὸ τῶν αἰώνων.

Σιδηρᾷ σου Ῥάβδῳ κραταιᾶς ἀντιλήψεως, ὡς ὑλακτοῦντας κύνας ὡς ὠρυομένους θῆρας, τὰ περικυκλοῦντα πάθη ἀποσόβει τὴν ταπεινήν μου ψυχὴν, δεινῶς με πολιορκοῦντα, ἵνα τὸ χαῖρε σοι Παρθένε κράζω.

Ὡραιώθης ὅλη, τὸν ὡραῖον ἐν κάλλεσιν ὑπὲρ υἱοὺς ἀνθρώπων Χριστὸν τεκοῦσα, ἡ ἐν γυναιξὶν ὡραῖα· διό σοι τὸ χαῖρε κράζομεν, λέγοντες· χαῖρε Θεοτόκε Ἁγνὴ Κεχαριτωμένη, χαῖρε τῆς κτίσεως ἐνδοξοτέρα.

Δανιὴλ ὃ εἶδεν Ὄρος πρὶν ἀλατόμητον, Θεογεννῆτορ, ἐξ οὗ ἐτμήθη ἀκρογωνιαῖος λίθος, χαῖρε Θεοδόχε ἀνθρακοφόρε λαβίς, χαῖρε τῶν ἀΰλων ἁγιωτέρα, χαῖρε τῆς κτίσεως τιμιωτέρα.

[*Ἄλλος. Παῖδες εὐαγεῖς.*]. Ἀνῆλθες πρὸς γνῶσιν θεωρίας, καὶ πάντα σαφῶς μεμύησαι τοῦ Πνεύματος ἄδυτα μυστήρια, πᾶσι δὲ κατήγγειλας τοῖς προσφοιτῶσι Πάνσεπτε, σοὶ καὶ κραυγάζουσι, τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦται εἰς πάντας τοὺς αἰῶνας.

Δόψης κατεφρόνησας τῆς κάτω, καὶ πᾶσαν διάνοιαν ἐπτέρωσας ἀρετῶν κουφότητι, ὅθεν καὶ ἀνύψωσαι πρὸς θεῖον ὕψος ἄρρητον, ᾧ χαίρεις ψάλλουσα, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε.

Ὤφθης ὀρφανῶν τροφὸς καὶ Μήτηρ, καὶ πάντων ἀδικουμένων ἡ ἀντίληψις, τῶν ἐν νόσοις ἴασις, αἰχμαλώτων λύτρωσις, καὶ τοῖς ἐν λύπαις Πάνσεμνε χαρὰ τοῖς ψάλλουσι τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας.

[*Θεοτοκίον*]. Ἴασαι Ἁγνὴ τὰς ἀσθενείας, τῶν πίστει προστρεχόντων σοι Θεόνυμφε, καὶ ὁμολογούντων σε Θεοτόκον ἄχραντε, ὡς τὸν Θεὸν γεννήσασαν, ᾧ πάντες ψάλλομεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε.

[*Καταβασία. Παῖδες εὐαγεῖς. Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή*]. Ἰδοὺ σε πᾶσαι γενεαὶ μακαρίζουσι τὴν Ἀειμακκάριστον, ὡς προεφήτευσας, Θεογεννῆτορ ἐκ Θείου Πνεύματος, καὶ ὡς τεκοῦσαν τὴν χαράν, τὸ χαῖρε βοῶσί σοι, χαῖρε ζωῆς θησαυρέ, χαῖρε κρήνη, ψυχικὸν μέλι βρύουσα.

Ὤρθωσας Δέσποινα Ἁγνή, τοῦ προπάτορος Ἀδὰμ τὸ ὀλίσθημα, καὶ τῆς προμήτορος Εὔας τὴν λύπην εἰς χαρὰν ἔτρεψας· ὡς οὖν αἰτίᾳ τῆς χαρᾶς τὸ χαῖρε βοῶμεν σοι, χαῖρε χαρὰ τῶν πιστῶν, χαῖρε τῶν Χριστιανῶν ἀγαλλίασμα.

Ἄξιον χαῖρέ σοι βοᾷν, ἐν σοὶ γὰρ οὐσιωδῶς ἡ ἀΐδιος χαρὰ ἐσκήνωσε, Παρθένε Κόρη Θεογεννήτρια, χαῖρε παράδεισε τρυφῆς, χαῖρε ἡ

χρυσόρρειθρος Ἀθανασίας πηγή, χαῖρε νέκταρ ἀληθὲς ἡ προχέουσα.

Νύττει μου βέλει γλυκερῷ τὴν καρδίαν ὁ σὸς πόθος Πανύμνητε, καὶ ἐκβιάζει με χαῖρε σοὶ κράζειν διὰ παντὸς, καὶ βοᾷν χαῖρε λιμήν, χαῖρε ἡ ποντίσασα τὸν νοητὸν Φαραὼ, γλυκυτάτη ἀδιάβατος θάλασσα.

[*Ἄλλο. Ἅπας γηγενὴς*]. Σοῦ πρὸς ὑπαντὴν Ἀγγέλων συστήματα Μῆτερ κατήρχετο, καὶ ὁ τῶν ὁσίων δὲ χορὸς σὺν τούτοις θείοις ἐν ᾄσμασιν, ἐπηκολούθει πάνσεπτε, ἀναγομένης σου εἰς τὰ ἄνω πάντερπνα σκηνώματα, ὧν Χριστός σοι τὰς πύλας ἀνέωξε.

Ἄνθος χρυσαυγὲς, ποικίλον χρυσόχροον, καὶ εὐωδίας μεστόν, τοῖς ἐν ταῖς Ἀθήναις νῦν ταῖς χρυσιζούσαις Μῆτερ ἐξήνθησας, καὶ πᾶσαν εὐωδίασας καὶ κατελάμπρυνας τὴν Πατρίδα καὶ τοὺς σοὺς Γεννήτορας, τῶν χαρίτων τῶν σῶν τῇ τερπνότητι.

Ἄνω σε Χριστὸς καλέσας εἰς ἄληκτον ζωὴν μετήνεγκεν, ὃν καθικετεύουσα μὴ παύσῃ Μῆτερ ὑπὲρ τῶν πίστει σου τὴν ἱερὰν Μετάστασιν ὑμνούντων, Πάντερπνε, καὶ βοώντων: χαίροις ἀξιέπαινε Φιλοθέη, τὸ ῥόδον τὸ εὔχροον.

[*Θεοτοκίον*] Κύριον Ἁγνὴ Παρθένε ὃν ἔτεκες, τοῦτον δυσώπησον ἄτρωτον τηρεῖν ἀεὶ τὴν νεολαίαν, ἣν ἡ Φιλόθεος τὸν σὸν ὑμνεῖν συνήγαγε τόκον Πανάμωμε, ἐκ παντοίων πολεμίων Ἄχραντε, αἰσθητῶν καὶ ἀΰλων Θεόνυμφε.

[*Καταβασία. Ἅπας γηγενής. Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε*]. Ἀγάλλου, τέρπου, χόρευε, πᾶς ὁ λαὸς τὴν σήμερον, τῆς Φιλοθέης τὴν μνήμην πανηγυρίζοντες πάντες· ἰδοὺ γὰρ καταλείψασα τὸν κόσμον τὸν ἐπίκηρον, καὶ πρὸς μονὰς ἐλήλυθε τὰς Οὐρανίους, καὶ χαίρει ὑπὲρ ἡμῶν καὶ πρεσβεύει.

[*Θεοτοκίον*]. Μαρία καθαρώτατον χρυσοῦν θυμιατήριον τῆς ἀχωρήτου Τριάδος δοχεῖον γεγενημένη, ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε καὶ Πνεῦμα τὸ Πανάγιον, ἐπισκιάσαν σοι Κόρῃ, ἀνέδειξε Θεοτόκον.

[*Εἰς τοὺς αἴνους, τὸ Πᾶσα πνοή, στιχηρὰ ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθεὶς τῆς Βασιλείας*]. Σήμερον χαίρει ἡ γῆ καὶ συγχορεύει, διδοῦσα τὸ βλάστημα αὐτῆς εἰς χεῖρας Θεοῦ, ὡς θεῖον δῶρον καὶ μέγιστον, τὴν Φιλοθέην, τὴν ἐν Ἀθήναις ἀναβλαστήσασαν, εὐφραίνεται καὶ ἅπασα τῶν Οὐρανῶν ἡ πληθὺς, ὡς δεξαμένην τὴν ἄσπιλον, καὶ θειοτάτην, καὶ ὅλην οὖσαν Θεοῦ κατοίκησιν· χαίρει δὲ μᾶλλον καὶ ἀγάλλεται, Ἰησοῦς Χριστὸς ὁ Θεὸς ἡμῶν· ὃς ἀνήγαγε ταύτην εἰς τὰ ἄδυτα βασίλεια

Ἡ ἱλαρὰ τὴν ψυχὴν καὶ τὴν καρδίαν, ἥλιος ὁ πάμφωτος, ἀστὴρ αὐ-

γέστατος, περιστερὰ ἡ ἀκέραιος, ἡ Φιλοθέη, ἡ μῦρον οὖσα καὶ μῆλον πάγχρυσον, ἡ ὅλη μυρίσασα, καὶ χρησιμεύσασα νοῦν καὶ ψυχὴν καὶ καρδίαν τε, σὺν τῷ σαρκίῳ καὶ γενομένη φῶς καὶ ἀπαύγασμα, νῦν δὲ ἀφεῖσα τὰ ἐπίκηρα ἀνελύληθεν ἄνω πρὸς Κυριον, καὶ πρεσβεύει ἀπαύστως τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Φυτὸν ὡραῖον ἐβλάστησε καὶ κλάδον, ἡ θεία Μητρόπολις τῶν Ἀθηνῶν ἡ λαμπρά, φέρον καρπὸν εὐωδέστατον, πλῆρες χαρίτων, γλυκὺν εἰς γεῦσιν, καὶ θυμηδέστατον, τὴν θείαν καὶ ἄσπιλον καὶ θεοδόξαστον, τὴν Φιλοθέην τὴν πράξει τε καὶ θεωρίᾳ κατακοσμοῦσαν ψυχὴν τοῦ σώματος, ὅθεν ἐν ὕμνοις μεγαλύνομεν καὶ γεραίρομεν ταύτης τὴν κοίμησιν, ἐν ψαλμοῖς μελιρρύτοις καὶ τερπνοῖς τοῖς μελωδήμασιν.

[*Δόξα, ἦχος β*]. Τῶν ὑπὲρ νοῦν ἀγαθῶν, δεξαμένη ἔρωτα, πάντα τὰ ἐν κόσμῳ τερπνὰ ὑπερεῖδες Θεόληπτε, ἐντεῦθεν γὰρ τῷ καρπῷ οὐχ εἴλω καθάπερ Ἀδάμ· τὸν ὄφιν δὲ ἀποκρουσαμένη δι' ἐγκρατείας, Ἀγγελικῶς τὸν βίον διήνυσας, καὶ νῦν ἐν Οὐρανοῖς αὐλίζῃ, ἐπαπολαύουσα τοῦ ξύλου τῆς ζωῆς, Θεὸν ἱλεουμένη ὑπὲρ ἡμῶν τῶν πιστῶς ἐκτελούντων, ἡγιασμένη Φιλοθέη, τὴν μνήμην σου.

[*Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου Δοξολογία μεγάλη καὶ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν. Ἐκ τοῦ Κανόνος. Ὠδὴ γ' καὶ ς'*].

ΤΕΛΟΣ

ΓΡΑΜΜΑ

ΠΕΡΙ ΣΥΝΤΗΡΗΣΕΩΣ ΤΗΣ ΣΧΟΛΗΣ ΝΤΕΚΑ

Ὁ Ἀθηνῶν Γρηγόριος ἐπιβεβαιοῖ[1].

Καὶ ἐπὶ πολλῶν μὲν ἄλλων ἀγαθῶν πράξεων χρεωστεῖται ὁ ἔπαινος, πάντων δὲ μάλιστα ἀξιέπαινοι καὶ περικλεεῖς καὶ εἰς τὸν ἅπαντα χρόνον ἀοίδιμοι εἰσίν, ὅσοι φροντίζουσι καὶ ἀγωνίζονται περὶ συστάσεως καὶ διαμονῆς τῶν Ἑλληνικῶν σχολείων, καὶ ὅτι ἐκ τῆς μαθήσεως προσγίνεται τοῖς ἀνθρώποις τὰ τοσαῦτα καλὰ καὶ ὠφέλιμα, ὅσα περὶ αὐτῶν ἐξυμνεῖ ὁ θεόσοφος Σολομών. Διὰ ταῦτα σωτῆρες τῶν πόλεων, καὶ κοινοὶ εὐεργέται, καὶ πᾶν εἴ τι εὔφημον καὶ πρᾶγμα καὶ ὄνομα πρέπει νὰ ὀνομάζωνται, ὅσοι γίνονται αἴτιοι καὶ συνεργοὶ εἰς τὸ νὰ ἐξακολουθῇ καὶ νὰ καλλιεργῆται εἰς τὰς πολιτείας τὸ κοινωφελὲς τῆς πολιτείας ἔργον, ἢ μὲ τὴν ἐκ βάθρων οἰκοδομὴν νέων σχο-

[1] Τὸ πρωτότυπον παρὰ τῷ Κ. Πιττάκη.

λείων, ἢ μὲ σύστασιν καὶ ἐπικουρίαν τῶν πάλαι προῳκοδομημένων. Τοιοῦτος ἐστάθη ὁ πανοσιώτατος καθηγούμενος τῆς ἱερᾶς τῶν Ἀσωμάτων Μονῆς κὺρ Διονύσιος Πετράκης, ὅστις καὶ πρὸ πολλοῦ ἐσκέπτετο καὶ διεννοεῖτο νὰ βάλῃ εἰς πρᾶξιν τὸ τοιοῦτον καλόν, ἀλλὰ τὰ διάφορα περιστατικὰ δὲν τὸν ἐσυγχώρησαν. Ἤδη δὲ προτροπῇ καὶ τοῦ πανιερωτάτου ἡμῶν Δεσπότου, καὶ τῶν εὐγενεστάτων ἀρχόντων, τὸν ὃν ἐκ τοῦ φόϐου τοῦ Κυρίου πάλαι συνέλαϐε θεῖον σκοπόν, τέως ὤδινε καὶ ἔτεκε πνεῦμα σωτηρίας καὶ ὠφελείας τῇ ἑαυτοῦ πατρίδι. Τὴν γὰρ Ἑλληνικὴν σχολὴν τοῦ μακαρίτου καὶ ἀοιδίμου ἐκείνου Ἰωάννου Ντέκα (ἡ ὁποῖα ἀγκαλὰ καὶ διὰ τὴν τελείαν καταστροφὴν τῆς ἀριστοκρατίας τῶν Οὐενετῶν κατεστράφη καὶ αὕτη, καὶ ἀπώλεσεν ὅλους τοὺς μισθοὺς διδασκάλου τε ὁμοῦ καὶ μαθητῶν, μ' ὅλον τοῦτο χάριτι Θείῳ, καὶ διὰ τῆς ἐπιμελείας τῶν προστατῶν δὲν ἤργησε πώποτε, ἀλλ' ἐξακολουθοῦσε καὶ ἐξακολουθεῖ τὸ ἔργον τῆς διδασκαλίας μὲ μισθὸν τῷ διδασκάλῳ παρὰ τῆς κοινότητος)· τὴν αὐτὴν λέγω σχολὴν τοῦ μακαρίτου Ἰωάννου Ντέκα ὁ ῥηθεὶς καθηγούμενος κὺρ Διονύσιος Πετράκης ἠθέλησε ν' ἀναλάϐῃ εἰς τὴν ἑαυτοῦ ἐπίσκεψιν, τουτέστιν ἀπεφάσισε νὰ τὴν διακρατῇ, καὶ νὰ τὴν συντηρῇ ἰδίοις αὐτοῦ ἀναλώμασιν εἰς τὸν ἅπαντα χρόνον αὐτός τε καὶ οἱ ἐκείνου διάδοχοι μὲ μισθὸν ἐτήσιον τῷ ἤδη σχολαρχοῦντι σοφολογιωτάτῳ διδασκάλῳ κὺρ Ἰωάννῃ Μπενιζέλῳ, καὶ τοῖς κατὰ καιρὸν καθηγηταῖς τῆς αὐτῆς σχολῆς. Ὑπόσχεται τοιγαροῦν ὁ εἰρημένος καθηγούμενος κὺρ Διονύσιος ἑκουσίως. αὐτεξουσίως καὶ εὐγνωμόνος, μ' ὅλον τὸν πατριωτισμὸν καὶ τὸν ζῆλον πρὸς τὸ κοινὸν συμφέρον, νὰ δίδῃ τῷ αὐτῷ διδασκάλῳ κὺρ Ἰωάννῃ Μπενιζέλῳ διὰ μισθὸν τῆς σχολῆς κατ' ἔτος γρόσια πεντακόσια, τὰ ὁποῖα θέλει τοῦ τὰ δίδει εἰς τρεῖς δόσεις· α') ὅταν ἀρχίζῃ ἡ διορία· ϐ') περὶ τὰ μέσα τῆς διορίας καὶ γ') ἀφοῦ τελειωθῇ ἡ διορία. Πρὸς τούτοις ὑπόσχεται νὰ τοῦ δίδῃ κατ' ἔτος καὶ σιτάρι κοιλὰ δεκαπέντε, τυρὶ καντάρι ἓν καὶ λάδι ξυστία ἕξ. Ὑπόσχεται προσέτι ὁ αὐτὸς καθηγούμενος νὰ δίδῃ καὶ εἰς δώδεκα πτωχὰ παιδία, ἂν τύχουν τῆς πατρίδος μας, ἀπὸ ἓξ κοιλὰ σιτάρι εἰς κάθε ἓν ἐτησίως καὶ τὸ χαράτζι τους, ἀνίσως ὅμως καὶ τὰ αὐτὰ παιδία ἤθελεν ἐξακολουθοῦν εἰς τὸ σχολεῖον καὶ ἔχουσιν ἐπιμέλειαν καὶ ἔφεσιν εἰς τὰ μαθήματα, καὶ δὲν ἤθελον τὸ κάμουν κατὰ πραγματείαν, καὶ περὶ τούτου θέλει ἔχει ὁ διδάσκαλος τὴν φροντίδα. Πρὸς τούτοις δηλοποιεῖται, ὅτι ὁ αὐτὸς καθηγούμενος θέλει εἶσθαι καὶ ἐπίτροπος καὶ ἔφορος τῆς σχολῆς. Ὁ δὲ διδάσκαλος κὺρ Ἰωάννης Βενιζέλος ὑπόσχεται, Θείᾳ συνάρσει, νὰ ἐξακολουθῇ καὶ νὰ ἐκπληροῖ ἐπιμελῶς καὶ

